Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries
and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

600093234R

# ΔΙΟΝΥΣΙΟΥ Η ΛΟΓΓΙΝΟΥ

## ΠΕΡΙ ΥΨΟΥΣ

DE SVBLIMITATE LIBELLVS

IN VSVM SCHOLARVM

EDIDIT

OTTO IAHN

BIBLIOTHECA BODLEIANA

BONNAE
APVD A. MARCVM
MDCCCLXVII

290. i. 13.

ADOLFO MICHAELIS

STVDIORVM ET CVRARVM

SOCIO FIDISSIMO

P codex bibliothecae imperialis parisiensis 2036, saeculo decimo in membranis quaternionibus scriptus, foliorum 207, continet Ἀριστοτέλους φυσικὰ προβλήματα κατ' εἶδος συναγωγῆς (fol. 1—178b), de quibus Levesquius accuratius egit (notices et extraits VII, 2 p. 101 sqq.), pauca de libello Διονυσίου ἢ Λογγίνου περὶ ὕψους addens, qui illa excipit. olim Florentiae in bibliotheca cardinalis Ridolfi servatus, post eius mortem anno 1550 ad Petrvm Strozzium pervenit, cuius, postquam in obsidione thionvilliana anno 1558 interfectus est, bibliothecam Catharina Medicaea haereditatis ius praetexens occupavit. denique Thvano curam agente cum ceteris reginae libris anno 1599 regiae bibliothecae traditus est. lacunarum, quibus hic libellus laceratus est, ratione habita Boivinus intellexit, e codice parisino omnes quotquot praeter eum innotuerunt descriptos esse. teste Rostgaardio in fronte codicis haec adscripsit *ex hoc descripta sunt omnia quae hodie extant manuscripta Longini* περὶ ὕψους *exemplaria, ut patet ex lacunis, quarum originem prodit hic codex: nam ubi lacunam habent alii codices, ibi desunt in hoc codice folia integra, vel duo praecise vel quatuor, vel etiam plura. secunda tamen lacuna maior est in hoc, quam in aliis: hoc vero ideo factum, quod cum alii codices descripti sunt, nondum hic codex compactus foret, haberetque tunc amplius quam hodie folia duo, quae, cum compingeretur, excidisse verisimile est.* accuratius etiam rem in notis, quas cum Boileavio a. 1701 communicavit, ad c. 7 hisce verbis, tradidit. *il y a six grandes lacunes dans le traité du sublime. les chapitres, où elles se trouvent, sont le 2 le 7 le 10 le 16 le 25 le 31. elles sont non seulement dans tous les imprimés, mais aussi dans tous les manuscrits. les copistes ont eu soin, pour la plupart, d'avertir, combien il manque dans chaque endroit. l'ancien manuscrit de la bibliothèque du roi a cela du singulier, qu'il nous apprend la mésure juste de ce que nous avons perdu. les cahiers y sont cottés j'usque au nombre de trente. les cottes ou signatures sont de même antiquité que le texte. les vingt trois premiers cahiers, qui contiennent les problêmes d'Aristote, sont tous de huit feuillets chacun. à l'égard des sept derniers, qui appartiennent au sublime de Longin, le premier, le troisième, le quatrième et le sixième, cottés* (KΔ) 24 (Kϛ) 26 (KZ) 27 *et* (KΘ) 29, *sont de six feuillets, ayant perdu chacun les deux feuillets du milieu, c'est ce qui a fait la première, la troisième, la quatrième et la sixième lacune des imprimés et des autres manuscrits. le second cahier manque entièrement; mais comme il en restoit encore deux feuillets dans le tems que les premières copies ont été faites, il ne manque en cet endroit dans les autres manuscrits et dans les imprimés, que la valeur de six feuillets. c'est ce qui a fait la seconde lacune, que Gabriel de Petra a prétendu remplir de trois ou quatre lignes. le cinquième cahier, cotté* (KH) 28 *n'est que de quatre feuillets, les quatre du milieu sont perdus. c'est la cinquième lacune. le septième n'est que de trois feuillets continus, et remplis*

*jusqu'à la dernière ligne de la dernière page. on examinera ailleurs s'il y a quelque chose de perdu en cet endroit; de tout cela il s'ensuit qu'entre les six lacunes spécifiées, les moindres sont de quatre pages, dont le vide ne pourra jamais être rempli par de simples coniectures. il s'ensuit de plus, que le manuscrit du roi est original par rapport à toux ceux qui nous restent aujourd'hui; puisqu'on y découvre l'origine et la véritable cause de leur imperfection.* Boivinum, qui de eadem re etiam cum Pearcio litteras communicavit, eo tantum errasse nuntiavit mihi Augustus Reifferscheidius testis oculatus, quod numeros graecos, quibus singuli quaterniones insigniti sunt, ab ipso librario scriptos esse putavit, eos enim viri cuiusdam docti manu, quae saeculum XIV excedere non videatur, additos videri, qui idem λείπει ad significandam lacunam adscripserit; nisi quod fol. 182b manus saeculo XVI recentior λείπει *desunt folia octo seu quaternio* KE adnotavit. ceterum summam rei indicasse fertur Ricardus Simon epistulis Amstelodami a. 1730 editis (lettres choisies II, 27), Fredericus autem Rostgaardus, dum medio saeculo praeterito Parisiis versatur, codice examinato in exemplo editionis tollianae, quod in bibliotheca universitatis lipsiensis extat, singularum paginarum finem quaternionumque numeros diligenter adnotavit — ut in hac editione ex Vahleni testimoniis factum est —, praeterea paucas varias lectiones et unam quandam paginam (fol. 197r.) totam, aliarum particulas ita descriptas addidit, ut codicis imaginem redderet. Florentiae olim hoc codice usus est Petrus Victorius, antiquissimum codicem in variis lectionibus (XXVII, 13) a. 1568 primum editis antestatus. variarum lectionum satis diligenter ab eo exemplo robortelliano, quod nunc bibliotheca monacensis servat, adscriptarum ope Leonhardus Spengelius primus artem criticam in hoc libello scite exercuit (a. 1853), cuius gratus vestigia libero iudicio secutus sum. tum Isaac Vossius, ut ipse testatur (ad Catull. p. 114), Parisiis codicem consuluit, cuius excerptis Iacobus Tollius (Trai. 1694) usus est. paullo accuratius per graecum quendam hominem collatum codicem habuit Zacharias Pearcius (Lond. 1724. 1732. 1743), qui in praefatione specimen aere expressum repraesentavit; quaedam ex codice a se relecto cum Beniamino Weiskio (Lips. 1809) communicavit Bastius. ut tandem aliquando certo de unico codice constaret Ioannes Vahlenus a. 1861 votis meis humanissime obtemperans quam accuratissime totum excussit ita, ut ubicumque ab eis quae e Victorii exemplo a Spengelio enotata erant diversa adnotasset denuo inspecto codice quid in eo legeretur diserte indicaret. quae omnia fidelissime transscripsi, nisi quod praeter compendia quaedam vulgaria atque certa accentus licenter positos, ι temere vel adscriptum vel neglectum, ν praeter necessitatem additum non constanter adnotavi. codex haud paucis locis lituram passus est, quod asteriscis, quantum quidem fieri potuit ad litterarum deletarum rationem positis, significavi. quidquid librarius ipse vel correxit vel in margine addidit eadem littera P notavi. adscripsit autem margini paucis locis ea, quae incuria omiserat, vel lectiones emendatas, tum vero res vel verba aliquo modo adnotatione digna, adpositis etiam signis ϲη (fol. 202 v.) et ꝇ i. ὡραῖον. atque hoc, ut ex Reifferscheidio comperi, quater fol. 183 r, fol. 186 v. verbis οὕτως ἀπὸ τῆς τῶν ἀρχαίων addito ϲη, fol. 192 v. verbis εἴ τις συνδήσειε, fol. 193 r. verbis τότε γὰρ ἡ τέχνη adpictum apparet. quodcum-
p que a recentiore manu vel mutatum vel additum est p littera notavi.

Franciscus Robortellus, qui Patavii nonis aug. a. 1554 cardinali Ranuntio Farnesio *Dionysii Longini rhet. antiqui opus redivivum antea ignotum opera industriaque sua e tenebris in lucem eductum atque expo-*

*litum* dicavit et Basileae per Ioa. Oporinum edidit, codice ipso non videtur usus esse, sed apographo quodam non indiligenter facto. ignoravit eius operam qui anno post libellum edidit Paulus Manutius, ut ignoravit Muretus, qui ad Catullum a. 1554 editum haec adnotavit (f. 57). *etenim cum Dionysii Longini libellum* περὶ ὕψους, *qui nondum a quoquam editus est, hortante eodem, qui me ad haec scribenda impulit, singularis doctrinae eximiaeque virtutis viro, Paulo Manutio, latine interpretari coepissem, ut eodem tempore optimus liber et graecus et mea opera latinus factus ederetur, cum alia in eo deprehendi, — tum Sapphus oden suavissimam poetriae Sapphus. — eam autem oden, — iam ante quam liber in meas manus veniret, emendaverat distinxeratque homo et latinarum et graecarum cognitione excellens Franciscus Portus.* et Paulus quidem Manutius, ut ipse in epistula ad cardinalem Michaelem Silvium graece scripta testatur, novicio codice ex Bessarionis bibliotheca deprompto, nunc marciano 422, librum edidit, quem coniecturis haud raro emendavit, saepius tamen, praesertim in scriptorum verbis ad editorum librorum fidem mutatis, licenter corrupit. retinuerunt tamen fere eius recensionem qui insecuti sunt editores, quamquam in magna saepe audacia non nisi pedetemtim ab ea recedere ausi, donec Spengelius ad verum fontem rediit. tribus vaticanis apographis, uno veneto usus est Iacobus Tollius (Trai. 1694), cantabrigiensi sive eliensi Ioannes Hudsonus (Ox. 1710. 1718. 1730), ambrosiano, cuius varias lectiones exemplo manutiano nunc in bibliotheca dresdensi servato Marquardus quoque Gudius adscripserat, Henricvs Leonhardus Schurzfleischius in commentatione qua Longinum recensuit (Witteb. 1711), florentino et vaticanis 285. 194. 1417 accuratius collatis Beniamin Weiskius (Lips. 1809). apographorum si quando lectiones indicandas duxi ς notavi. sed eorum cum nullus fere in arte critica factitanda usus sit nisi in eis foliis, quae iam in P desiderantur, ut tamen certo quid scriptum sit testimonio constet, duos codices parisinos, quos Augustus Reifferscheidius mihi contulit, adhibui

c cod. chartac. saec. XVI fol. 52 n. 2974

d cod. chartac. manu Francisci Bernardi Veronae a. 1491 scriptum fol. 170 n. 2960.

miro consensu duo codices miscellanei

a vaticanus cod. gr. 245 saec. XV

b parisinus 985 (olim 3171) chartac. saec. XV

quorum illum Augustus Wilmannsius, hunc Augustus Reifferscheidius excusserunt, post Aristotelis problemata praescripto titulo Διονυσίου ἢ Λογγίνου περὶ ὕψους initium huius libelli ita descriptum habent, ut in capite 2, fol. 179 v. nondum finito in verbis τῶν ἀγαθῶν desinant et nullo interstitio facto in reddendis problematis (IV, 25) pergant. iam vero Tollius ea quae post fol. 179 v. verba ὡς ἡ μέν excipiunt tamquam ex cod. vaticano deprompta edidit. at cum in hoc codice minus etiam legatur, quam in P, qua fide ea nitantur, incertum est.

alii editores non apographorum sed ingenii ope libro corrupto mederi conati sunt. Franciscus Portus quas emendationes in margine libri cum Aphthonio et Hermogene a. 1569 (1570) apud Ioa. Crispinum editi addi curavit similiter repetiverunt Gabriel de Petra (Col. 1612) et Gerardus Langbainius (Ox. 1638). haud pauca sagaciter temptavit, nonnulla egregie restituit Tanaquil Faber (Salm. 1694). gallicus interpres Despreavxius Boileavius (1674) ad emendanda scriptoris verba ipse quidem nihil contulit, sed communicaverunt quaedam cum eo Andreas Dacerius (1614) et Boivinus (1701), ut cum editore operum boileavianorum de sancto Marco (1747) Ioa. Capperonnerius. Samuelis Nathanaelis Mori editio (Lips. 1769) cui libellum animadversionum comitem addidit (Lips. 1776), Ioanni Iacobo Reiskio occasionem

praebuit huius libelli a. 1769 suo more critice pertractandi, cuius animadversiones ex ipsius exemplo in bibliotheca regia havniensi adservato transscribendas curavi. multa molitus est Ioannes Toupius, quocum elegantes observationes Davides Ruhnkenius communicavit (Ox. 1778), quaedam temptavit nuperrimus editor Ludovicus Vaucherus (Gen. 1854). alia via scriptori succurrere conatus est [Knoxius] in libro *remarks on the supposed Dionysius Longinus* (Lond. 1826). is enim ita verba transposuit, ut post cap. 13 reliqua hoc se ordine exciperent c. 30. 31. 43. 42. 41. 16. 17. 18. 25. 26. 32. 37. 38. 33. 34. 35. 36. 44; tum vero quae de figuris disputantur (19—24) pleraque omnia, praeterea singula quaedam (26, 3. 32, 5. 6) ut ab interpolatore profecta delenda censet.

Hieronymus Amatius apud Weiskium primus monuit de nomine scriptoris nihil certi traditum esse, neque cur de Cassio Longino cogitemus caussam subesse. is igitur Dionysium Halicarnasensem, Weiskius Dionysium Pergamenum, Vaucherus Plutarchum libri scriptorem esse voluit. Roeperi egregio invento, quo Ammonium 13, 3 commemoratum grammaticum alexandrinum intellegi docuit (philol. I p. 630), usus Georgius Buchenavius in dissertatione de scriptore libri περὶ ὕψους (Marb. 1849) aliis quoque adhibitis argumentis, non usquequaque certis, ut uno quodam exemplo docui (Herm. II p. 238 sq.), libellum Vespasiani tempore scriptum esse, evincere studuit. denique pro Longino L. B. des Francs in thesi, utrum Dionysio Longino adscribendus sit liber qui περὶ ὕψους inscribitur (Gratianop. 1862) proposita inutiliter pugnavit.

# ΔΙΟΝΥΣΙΟΥ Η ΛΟΓΓΙΝΟΥ
## ΠΕΡΙ ΥΨΟΥΣ

Τὸ μὲν τοῦ Κεκιλίου συγγραμμάτιον, ὃ περὶ ὕψους συνετάξατο, ἀνασκοπουμένοις ἡμῖν ὡς οἶσθα κοινῇ, Ποστούμιε Τερεντιανὲ φίλτατε, ταπεινότερον ἐφάνη τῆς ὅλης ὑποθέσεως καὶ ἥκιστα τῶν καιρίων ἐφαπτόμενον, οὐ πολλήν τε ὠφέλειαν, ἧς μάλιστα δεῖ στοχάζεσθαι τὸν γράφοντα, περιποιοῦν τοῖς ἐντυγχάνουσιν, εἴγ' ἐπὶ πάσης τεχνολογίας δυεῖν ἀπαιτουμένων, προτέρου μὲν τοῦ δεῖξαι, τί τὸ ὑποκείμενον, δευτέρου δὲ τῇ τάξει, τῇ δυνάμει δὲ κυριωτέρου, πῶς ἂν ἡμῖν αὐτὸ τοῦτο καὶ δι' ὧν τινων μεθόδων κτητὸν γένοιτο, ὅμως ὁ Κεκίλιος ποῖον μέν τι ὑπάρχει τὸ ὑψηλὸν διὰ μυρίων ὅσων ὡς ἀγνοοῦσι πειρᾶται δεικνύναι, τὸ δὲ δι' ὅτου τρόπου τὰς ἑαυτῶν φύσεις προάγειν ἰσχύοιμεν ἂν εἰς ποσὴν μεγέθους ἐπίδοσιν, οὐκ οἶδ'
2 ὅπως ὡς οὐκ ἀναγκαῖον παρέλιπεν. πλὴν ἴσως τουτονὶ μὲν τὸν ἄνδρα οὐχ οὕτως αἰτιᾶσθαι τῶν ἐκλελειμμένων, ὡς αὐτῆς τῆς ἐπι-

ΔΙΟΝVCΙΟΥ ΛΟΓΓΙΝΟΥ ΠΕΡΙ ΥΨΟΥC: P at fol. 1 verso in fine indicis problematum Aristoteleorum † ΔΙΟΝΥCΙΟΥ Η ΛΟΓΓΙΝΟΥ ΠΕ ΥΨΟΥC † P Διονυσίου ἢ Λογγίνου περὶ ὕψους ab | 2 ἀνετάξετο ab | ἦσθα a | πιστούμιε φλορεντιανὲ a | 2 Τερεντιανὲ Manutius: φλωρεντιανὲ P | Ποστοῦμε Φλ. Τερεντιανὲ Schurzfleischius | 3 ὕλης Pearcius | 4 τε del. Toupius γε Reiskius | 5 περιποιεῖν Toupius | εἴγ' Spengelius: εἴτ' Pab εἶτ' Manutius | 6 δυοῖν b | 9 μέντοι a | ὡς om. a | 10 διότου a | 11 ἰ*σχύοιμεν P | 12 ὡς om. b | 13 μὲν del. Toupius | 13 ἐκλελειμένων b

1 SUIDAS Καικίλιος Σικελιώτης Καλακτῖνος ⟨Καλαντιανός codd.⟩ — Καλάκτη ⟨Κάλαντις codd.⟩ δὲ πόλις Σικελίας — ῥήτωρ σοφιστεύσας ἐν Ῥώμῃ ἐπὶ τοῦ Σεβαστοῦ Καίσαρος [καὶ ἕως Ἀδριανοῦ] καὶ ἀπὸ δούλων, ὥς τινες ἱστορήκασι, καὶ πρότερον καλούμενος Ἀρχάγαθος, τὴν δὲ δόξαν Ἰουδαῖος. cf. Ἑρμαγόρης Τήμνου τῆς Αἰολίδος, ὁ ἐπικληθεὶς Καρίων, ῥήτωρ. — ἐπαίδευσε δὲ οὗτος μετὰ Καικιλίου ἐν Ῥώμῃ ἐπὶ Καίσαρος Αὐγούστου καὶ τελευτᾷ πόρρω τῆς ἡλικίας. — Τιμαγένης βασιλικοῦ ἀργυραμοιβοῦ υἱός, Ἀλεξανδρεύς, ῥήτωρ, ὡς δέ τινες Αἰγύπτιος· ὃς ἐπὶ Πομπηίου τοῦ μεγάλου αἰχμάλωτος ἀχθεὶς ἐν Ῥώμῃ ὑπὸ τοῦ Γαβινίου ⟨a. u. c. 700, a. Chr. 54⟩ ἐξωνήθη ὑπὸ Φαύστου τοῦ υἱοῦ Σύλλου, καὶ ἐσοφίστευσεν ἐν Ῥώμῃ ἐπί τε αὐτοῦ Πομπηίου καὶ μετ' αὐτόν, ἐπί τε Καίσαρος τοῦ Αὐγούστου καὶ μετέπειτα ἅμα Καικιλίῳ.

1 νοίας καὶ σπουδῆς ἄξιον ἐπαινεῖν. ἐπεὶ δ' ἐνεκελεύσω καὶ ἡμᾶς τι
179 r. πε|ρὶ ὕψους πάντως εἰς σὴν ὑπομνηματίσασθαι χάριν, φέρε, εἴ τι δὴ
δοκοῦμεν ἀνδράσι πολιτικοῖς τεθεωρηκέναι χρήσιμον, ἐπισκεψώμεθα.
αὐτὸς δ' ἡμῖν, ἑταῖρε, τὰ ἐπὶ μέρους, ὡς πέφυκας καὶ καθήκει, συ-
νεπικρινεῖς ἀληθέστατα· εὖ γὰρ δὴ ὁ ἀποφηνάμενος, τί θεοῖς ὅμοιον
ἔχομεν, 'εὐεργεσίαν' εἴπας 'καὶ ἀλήθειαν'. γράφων δὲ πρὸς σέ, 3
φίλτατε, τὸν παιδείας ἐπιστήμονα, σχεδὸν ἀπήλλαγμαι καὶ τοῦ
διὰ πλειόνων προϋποτίθεσθαι, ὡς ἀκρότης καὶ ἐξοχή τις λόγων ἐστὶ
τὰ ὕψη, καὶ ποιητῶν τε οἱ μέγιστοι καὶ συγγραφέων οὐκ ἄλλοθεν
ἢ ἐνθένδε ποθὲν ἐπρώτευσαν καὶ ταῖς ἑαυτῶν ὑπερέβαλον εὐκλείαις
τὸν αἰῶνα. οὐ γὰρ εἰς πειθὼ τοὺς ἀκροωμένους, ἀλλ' εἰς ἔκστασιν 4
ἄγει τὰ ὑπερφυᾶ· πάντη δέ γε σὺν ἐκπλήξει τοῦ πιθανοῦ καὶ τοῦ
πρὸς χάριν ἀεὶ κρατεῖ τὸ θαυμάσιον, εἴγε τὸ μὲν πιθανὸν ὡς τὰ
πολλὰ ἐφ' ἡμῖν, ταῦτα δὲ δυναστείαν καὶ βίαν ἄμαχον προσφέ-
ροντα παντὸς ἐπάνω τοῦ ἀκροωμένου καθίσταται. καὶ τὴν μὲν
ἐμπειρίαν τῆς εὑρέσεως καὶ τὴν τῶν πραγμάτων τάξιν καὶ οἰκονο-
μίαν οὐκ ἐξ ἑνὸς οὐδ' ἐκ δυεῖν, ἐκ δὲ τοῦ ὅλου τῶν λόγων ὕφους
μόλις ἐκφαινομένην ὁρῶμεν, ὕψος δέ που καιρίως ἐξενεχθὲν τά τε
πράγματα δίκην σκηπτοῦ πάντα διεφόρησεν καὶ τὴν τοῦ ῥήτορος
εὐθὺς ἀθρόαν ἐνεδείξατο δύναμιν. ταῦτα γὰρ οἶμαι καὶ τὰ παρα-
179 v. πλήσια, Τερεντιανὲ ἥδιστε, κἂν αὐτὸς ἐκ πείρας ὑφηγήσαιο.
Ἡμῖν δ' ἐκεῖνο διαπορητέον ἐν ἀρχῇ, εἰ ἔστιν ὕψους τις [ἢ βά- 2
θους] τέχνη, ἐπεί τινες ὅλως οἴονται διηπατῆσθαι τοὺς τὰ τοιαῦτα
ἄγοντας εἰς τεχνικὰ παραγγέλματα. γεννᾶται γάρ, φησί, τὰ με-

4 ἑτ**ρε P ἑταῖρε P | 4 πεφυκᾶς (ε superscr.) P πέφυκε a | συνεπικρινεῖς φιλοφρονέστατα καὶ ἀληθέστατα Ruhnkenius | 6 ἔχοιμεν ς | 6 εἴπας Pb, in margine ἀντὶ τοῦ εἰπών P εἶπε ς | 7 φίλτατον παιδείας ς | 9 ἄλλοθεν ποθὲν ἢ ἐνθένδε Weiskius | 10 ὑπερέβαλον Langbainius: περιέβαλο*ν Pab περιέλαβον Toupius περιεβάλοντο Weiskius | 12 τὸ σὺν ἐκπλήξει Langbainius σὺν ἐκπλήξει del. Vaucherus | τοῦ πρὸς χάριν del. Weiskius | 13 ἔστι γε Pearcius ἔτι γε Koenius ad Greg. Cor. p. 123 (267) | 15 πάντως Faber | 16 εὐπορίαν Taylorus ad Aesch. c. Ctes. p. 441 | 17 δυοῖν corr. δυεῖν a | 19 δίκην σκηπτοῦ corr. a | πάντη Tollius | 20 ταῦτα δὲ Faber | 21 ὑφητήσαιο ab | 22 ἤ ἐστιν a | πάθους G. S. A. class. journ. III, 5 p. 64 Courrierius ad Xenoph. hipp. p. 81 | οἴοντ** Ροἴονται P | διηπατησῆται corr. διηπατῆσθαι a | 24 φασί Manutius

22 AELIANUS V. H. XII, 59 Πυθαγόρας ἔλεγε δύο ταῦτα ἐκ τῶν θεῶν τοῖς ἀνθρώποις δεδόσθαι κάλλιστα τό τε ἀληθεύειν καὶ τὸ εὐεργετεῖν· καὶ προσετίθει, ὅτι καὶ ἔοικε τοῖς θεῶν ἔργοις ἑκάτερον. ARSENII VIOL. p. 189 Δημοσθένης, ἐρωτηθείς, τί ἄνθρωπος ἔχει ὅμοιον θεῷ, ἔφη 'τὸ εὐεργετεῖν καὶ ἀληθεύειν'.

γαλοφυῆ καὶ οὐ διδακτὰ παραγίνεται, καὶ μία τέχνη πρὸς αὐτὰ τὸ 2
πεφυκέναι· χείρω τε τὰ φυσικὰ ἔργα, ὡς οἴονται, καὶ τῷ παντὶ
2 δειλότερα καθίσταται ταῖς τεχνολογίαις κατασκελετευόμενα. ἐγὼ
δὲ ἐλεγχθήσεσθαι τοὔθ' ἑτέρως ἔχον φημί, εἰ ἐπισκέψαιτό τις, ὅτι
ἡ φύσις, ὥσπερ τὰ πολλὰ ἐν τοῖς παθητικοῖς καὶ διῃρμένοις αὐτόνομον,
οὕτως οὐκ εἰκαῖόν τι κἀκ παντὸς ἀμέθοδον εἶναι φιλεῖ· καὶ
ὅτι αὕτη μὲν πρῶτόν τι καὶ ἀρχέτυπον γενέσεως στοιχεῖον ἐπὶ πάντων
ὑφέστηκεν, τὰς δὲ ποσότητας καὶ τὸν ἐφ' ἑκάστου καιρόν, ἔτι
δὲ τὴν ἀπλανεστάτην ἄσκησίν τε καὶ χρῆσιν ἱκανὴ πορίσαι καὶ συνενεγκεῖν
ἡ μέθοδος, καί πως ἐπικινδυνότερα αὐτὰ ἐφ' ἑαυτῶν, δίχα
ἐπιστήμης [ἀστήρικτα καὶ] ἀνερμάτιστα ἐαθέντα τὰ μεγάλα, ἐπὶ
μόνῃ τῇ φορᾷ καὶ ἀμαθεῖ τόλμῃ λειπόμενα· δεῖ γὰρ αὐτοῖς ὡς
3 κέντρου πολλάκις, οὕτω δὲ καὶ χαλινοῦ. ὅπερ γὰρ ὁ Δημοσθένης
ἐπὶ τοῦ κοινοῦ τῶν ἀνθρώπων ἀποφαίνεται βίου, μέγιστον μὲν εἶναι
τῶν ἀγαθῶν τὸ εὐτυχεῖν, δεύτερον δὲ καὶ οὐκ ἔλαττον τὸ εὖ βουλεύεσθαι,
ὅπερ οἷς ἂν μὴ παρῇ συναναιρεῖ πάντως καὶ θάτερον,
τοῦτ' ἂν καὶ ἐπὶ τῶν λόγων εἴποιμεν, ὡς ἡ μὲν φύσις τὴν τῆς εὐτυχίας
τάξιν ἐπέχει, ἡ τέχνη δὲ τὴν τῆς εὐβουλίας. τὸ δὲ κυριώτατον,
ὅτι καὶ αὐτὸ τὸ εἶναί τινα τῶν ἐν λόγοις ἐπὶ μόνῃ τῇ φύ-

4 ὅτι ὥσπερ ἡ φύσις τὰ πολλὰ Faber | 5 παθητικῆς a | διηρημένοις (a corr. ex διηρημένος) ab | 7 πρῶτον τε Spengelius | 8 ὑφέστησεν G. S. A. class. journ. III, 5 p. 54 | 9 παρορίσαι in marg. γρ. πορίσαι P πορίσαι ab προσορίσαι Faber περιορίσαι Pearcius | 10 πως Spengelius: ὡς Pab | ἐπικινδυνότερα τὰ πλοῖα τὰ ἐφ' Tollius ἐπικινδυνότερα τὰ πλοῖα αὐτὰ Toupius | αὐτῶν Pb αὐτῶν corr. αὐτῶν a | αχριμάτιστα ab | ἑαυτῶν ἑαθέντα τα μεγαλα, δίχα — ἀνερμάτιστα ἐπὶ μόνῃ Vaucherus | 11 οὕτω τὰ μεγάλα ς οὕτω καὶ τὰ μεγαλα Tollius οὕτω καὶ ἐπικίνδυνα τὰ μεγαλα Toupius τὰ μεγάλα del. Morus τὰ μεγάλα φύσεων Weiskius | ἑαθέντα τὰ πλοῖα, οὕτω καὶ τὰ Dobreeus adv. 1 p. 565 | 12 λειπομενα del. Morus | 13 δὴ Robortellus | γὰρ del. Vaucherus | 15 post ἀγαθῶν desinunt ab | 17 φύσις — θεωρίαν om. P. in P desunt duo folia | 19 ὅτι Pearcius: τε Tollius

11 PLATO THEAET. P. 144 A οἱ ὀξεῖς — ἄττοντες φέρονται ὥσπερ τὰ ἀνερμάτιστα πλοῖα. BEKKERI ANECD. P. 398, 9 SUIDAS ἀνερμάτιστον· ἀστήρικτον, ἄοπλον, ἀπαρασκεύαστον. | 12 DIOGENES LAERTIUS V, 39 λέγεται δὲ ἐπ' αὐτοῦ ⟨Θεοφράστου⟩ τε καὶ Καλλισθένους τὸ ὅμοιον εἰπεῖν Ἀριστοτέλην ὅπερ Πλάτωνα φασὶν εἰπεῖν ἐπί τε Ξενοκράτους καὶ αὐτοῦ τούτου, ὡς τῷ μὲν χαλινοῦ δέοι, τῷ δὲ κέντρου. SUIDAS Ἔφορος· ὁ γοῦν Ἰσοκράτης τὸν μὲν Θεόπομπον ἔφη χαλινοῦ δεῖσθαι, τὸν δὲ Ἔφορον κέντρου. | 13 DEMOSTHENES C. ARISTOCR. 113 ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι, δυοῖν ἀγαθοῖν ὄντοιν πᾶσιν ἀνθρώποις, τοῦ μὲν ἡγουμένου καὶ μεγίστου πάντων, τοῦ εὐτυχεῖν, τοῦ δὲ ἐλάττονος μὲν τούτου τῶν δ' ἄλλων μεγίστου, τοῦ καλῶς βουλεύεσθαι, οὐχ ἅμα ἡ κτῆσις παραγίγνεται τοῖς ἀνθρώποις, οὐδ' ἔχει τῶν εὖ πραττόντων οὐδεὶς ὅρον ἢ τελευτὴν τῆς τοῦ πλεονεκτεῖν ἐπιθυμίας.

2 σει, οὐκ ἄλλοθεν ἡμᾶς ἢ παρὰ τῆς τέχνης ἐκμαθεῖν δεῖ. εἰ ταῦθ', ὡς ἔφην, ἐπιλογίσαιτο καθ' ἑαυτὸν ὁ τοῖς χρηστομαθοῦσιν ἐπιτιμῶν, οὐκ ἂν ἔτι, μοὶ δοκεῖ, περιττὴν καὶ ἄχρηστον τὴν ἐπὶ τῶν προκειμένων ἡγήσαιτο θεωρίαν. * * |

180 r. * * | καὶ καμίνου σχῶσι μάκιστον σέλας. 3
εἰ γάρ τιν' ἑστιοῦχον ὄψομαι μόνον,
μίαν παρείρας πλεκτάνην χειμάρροον,
στέγην πυρώσω καὶ κατανθρακώσομαι·
νῦν δ' οὐ κέκραγά πω τὸ γενναῖον μέλος.

οὐ τραγικὰ ἔτι ταῦτα, ἀλλὰ παρατράγῳδα, αἱ πλεκτάναι, καὶ τὸ πρὸς οὐρανὸν ἐξεμεῖν, καὶ τὸ τὸν Βορέαν αὐλητὴν ποιεῖν, καὶ τὰ ἄλλα ἑξῆς· τεθόλωται γὰρ τῇ φράσει καὶ τεθορύβηται ταῖς φαντασίαις μᾶλλον ἢ δεδείνωται, κἂν ἕκαστον αὐτῶν πρὸς αὐγὰς ἀνασκοπῇς, ἐκ τοῦ φοβεροῦ κατ' ὀλίγον ὑπονοστεῖ πρὸς τὸ εὐκαταφρόνητον. ὅπου δ' ἐν τραγῳδίᾳ, πράγματι ὀγκηρῷ φύσει καὶ ἐπιδεχομένῳ στόμφον, ὅμως τὸ παρὰ μέλος οἰδεῖν ἀσύγγνωστον, σχολῇ γ' ἂν οἶμαι λόγοις ἀληθινοῖς ἁρμόσειεν. ταύτῃ καὶ τὰ τοῦ Λεον- 2 τίνου Γοργίου γελᾶται γράφοντος 'Ξέρξης ὁ τῶν Περσῶν Ζεύς', καί 'γύπες ἔμψυχοι τάφοι', καί τινα τῶν Καλλισθένους ὄντα οὐχ

1 ἄλλοθέν ποθεν Toupius | 2 καθ' ἕκαστα vel καθ' ἕκαστον Weiskius | 3 ἐμοὶ Spengelius | προσκειμένων Toupius | 4 ἡγήσαιτο Boivinus: κομίσαιτο Tollius νομίσαιτο Pearcius | 7—11 continua scriptura P in marg. appositis notis ⟨ | καὶ μὴ Tollius εἰ καὶ Musgravius apud Ruhnkenium | 8 τὸν Toupius | ψόλον Musgravius δόμων Dobreeus adv. II p. 31 δόμον Gennadius | 9 βίᾳ Ruhnkenius | χειμαρρόον P | 11 κεκράγεις | 12 τραγικά ἐστι ς Pearcius | 14 τετύλωται Dacerius | 16 ὑπονοστεῖ in marg. ἀντὶ τοῦ χωρισθῆναι δυνή ἀν σοι P | 18 σχολή P | 20 τῶν Περσῶν Καλλισθένους ς τῶν Περσικῶν Καλλισθένους Toupius

7 **IOANNES SICELIOTA SCHOL. AD HERMOG. DE ID. VI p. 225 W.** φαίνεται δὲ ἡ ἀτοπία τοῦ ποιητοῦ ⟨Αἰσχύλου⟩ μᾶλλον ἐν τῷ τῆς Ὠρειθυίας δράματι, ὅπου ταῖς δυσὶ σιαγόσι φυσῶν ὁ Βορέας κυκᾷ τὴν θάλασσαν — οὐ γὰρ φέρω ἐπὶ μνήνης τὰ ἰαμβικὰ ἐπιλαθόμενος. διὸ καὶ Σοφοκλῆς ⟨οὐ add. Ruhnkenius⟩ μιμεῖται ⟨μέμφεται Nauckius⟩. λέγει δὲ περὶ τούτων Λογγῖνος ἀκριβέστερον ἐν τῷ κα' τῶν φιλολόγων. **SCHOL. HERMOG. DE ID. VII p. 963 W.** φησὶ δὲ Λογγῖνος ἐν κα' τῶν φιλολόγων ὁμιλιῶν ⟨βιβλίων Bakius ad Apsin. rhet. p. XXXIV⟩ περὶ λέξεως στομφώδους. | 20 **HERMOGENES DE ID. A III p. 226 W. I p. 292 SP.** παρὰ δὲ τοῖς ὑποξύλοις τούτοις σοφισταῖς πάμπολλα εὕροις ἄν· τάφους τε γὰρ ἐμψύχους τοὺς γύπας λέγουσιν, ὧνπερ εἰσὶ μάλιστα ἄξιοι, καὶ ἄλλα τινὰ ψυχρεύονται πάμπολλα.

ὑψηλά, ἀλλὰ μετέωρα, καὶ ἔτι μᾶλλον τὰ Κλειτάρχου· φλοιώδης γὰρ 3
ἀνὴρ καὶ φυσῶν κατὰ τὸν Σοφοκλέα μικροῖς μὲν αὐλίσκοισι, φορβειᾶς
δ' ἄτερ. τά γε μὴν Ἀμφικράτους τοιαῦτα καὶ Ἡγησίου καὶ Μάτρι-
δος· πολλαχοῦ γὰρ ἐνθουσιᾶν ἑαυτοῖς δοκοῦντες οὐ βακχεύουσιν,
ἀλλὰ παίζουσιν. ὅλως δ' ἔοικεν εἶναι τὸ οἰδεῖν ἐν τοῖς μάλιστα
3 δυσφυλακτότατον. φύσει γὰρ ἅπαντες οἱ μεγέθους ἐφιέμενοι, φεύ-
γοντες ἀσθενείας καὶ ξηρότητος κατάγνωσιν, οὐκ οἶδ' ὅπως ἐπὶ τοῦθ'
ὑποφέρονται, πειθόμενοι τῷ 'μεγάλων ἀπολισθαίνειν ὅμως εὐγενὲς
ἀ|μάρτημα'. κακοὶ δὲ ὄγκοι καὶ ἐπὶ σωμάτων καὶ λόγων οἱ χαῦ- 180v.
νοι καὶ ἀναλήθεις καὶ μήποτε περιιστάντες ἡμᾶς εἰς τοὐναντίον· οὐ-
4 δὲν γάρ φασι ξηρότερον ὑδρωπικοῦ. ἀλλὰ τὸ μὲν οἰδοῦν ὑπεραί-
ρειν βούλεται τὰ ὕψη, τὸ δὲ μειρακιῶδες ἄντικρυς ὑπεναντίον τοῖς
μεγέθεσι· ταπεινὸν γὰρ ἐξ ὅλου καὶ μικρόψυχον καὶ τῷ ὄντι κα-
κὸν ἀγεννέστατον. τί ποτ' οὖν τὸ μειρακιῶδές ἐστιν; ἢ δῆλον ὡς
σχολαστικὴ νόησις, ὑπὸ περιεργίας λήγουσα εἰς ψυχρότητα; ὀλι-
σθαίνουσι δ' εἰς τοῦτο τὸ γένος ὀρεγόμενοι μὲν τοῦ περιττοῦ καὶ
πεποιημένου καὶ μάλιστα τοῦ ἡδέος, ἐποκέλλοντες δὲ εἰς τὸ ῥωπι-
5 κὸν καὶ κακόζηλον. τούτῳ παράκειται τρίτον τι κακίας εἶδος ἐν
τοῖς παθητικοῖς, ὅπερ ὁ Θεόδωρος παρένθυρσον ἐκάλει. ἔστι δὲ πά-

2 ἀνὴρ P | οὐ σμικροῖς Tollius | 8 ὅ*πως P | 9 μεγάλων Columbus ad Lactant. de mort. pers. 13: μεγάλω P μεγάλως ς | ἀπολισθάνειν Toupius | ἀμάρτημ' εὐγενές Manutius | 10 οἱ χαῦνοι καὶ ἀναλήθεις del. Vaucherus | 11 ἀναλήθ**ς P ἀναλήθεις P ἀναλθεῖς Faber | δήποτε Manutius ἤδη ποτε Reiskius | ***ιστάντες P περιιστάντες ς | 13 ἄντικρύς ἐστιν ἐναντίον Faber | 14 ἐξ ὅλου in marg. ἀντὶ τοῦ δι' ὅλου P | 15 ἢ Faber | 16 περιεργασιας [γι] P | 18 ὑποκέλλοντες Robortellus | ῥωπικὸν Is. Vossius: ῥοπικὸν P τροπικὸν ς

3 CICERO AD ATT. II, 16, 2 Cnaeus quidem noster iam plane quid cogitet nescio

> φυσᾷ γὰρ οὐ σμικροῖσιν αὐλίσκοις ἔτι,
> ἀλλ' ἀγρίαις φύσαισι φορβείας ἄτερ.

20 SUIDAS Θεόδωρος Γαδαρεύς, σοφιστής, ἀπὸ δούλων, διδάσκαλος γεγονὼς Τιβερίου Καίσαρος ⟨SUETONIUS TIB. 57 saeva ac lenta natura ne in puero quidem latuit: quam Theodorus Gadareus rhetoricae praeceptor et perspexisse primus sagaciter et assimilasse aptissime visus est, subinde in obiurgando appellans eum πηλὸν αἵματι πεφυραμένον. QUINTILIANUS III, 1, 17 Theodorus Gadareus, qui se dici maluit Rhodium, quem studiose audisse, cum in eam insulam secessisset, dicitur Tiberius Caesar⟩, ἐπεὶ δὲ συνεκρίθη περὶ σοφιστικῆς ἀγωνισάμενος Ποτάμωνι καὶ Ἀντιπάτρῳ, ἐν αὐτῇ τῇ Ῥώμῃ**. HIERONYMUS OL. 137 ⟨a. u. c. 724 a. Chr. 30⟩ Nicetas et Hybreas et Theodorus et Plutio nobilissimi artis rhetoricae graeci praeceptores habentur.

3 θος ἄκαιρον καὶ κενόν, ἔνθα μὴ δεῖ πάθους, ἢ ἄμετρον, ἔνθα με-
τρίου δεῖ. πολλὰ γὰρ ὥσπερ ἐκ μέθης τινὲς εἰς τὰ μηκέτι τοῦ
πράγματος ἴδια ἑαυτῶν καὶ σχολικὰ παραφέρονται πάθη· εἶτα
πρὸς οὐδὲν πεπονθότας ἀκροατὰς ἀσχημονοῦσιν εἰκότως, ἐξεστηκότες
πρὸς οὐκ ἐξεστηκότας. πλὴν περὶ μὲν τῶν παθητικῶν ἄλλος ἡμῖν
ἀπόκειται τόπος.

Θατέρου δὲ ὧν εἴπομεν, λέγω δὲ τοῦ ψυχροῦ, πλήρης ὁ Τί- 4
μαιος, ἀνὴρ τὰ μὲν ἄλλα ἱκανὸς καὶ πρὸς λόγων ἐνίοτε μέγεθος
οὐκ ἄφορος, πολυΐστωρ, ἐπινοητικός· πλὴν ἀλλοτρίων μὲν ἐλεγκτι-
κώτατος ἁμαρτημάτων, ἀνεπαίσθητος δὲ ἰδίων, ὑπὸ δὲ ἔρωτος τοῦ
181 r. ξένας νοήσεις ἀ|εὶ κινεῖν πολλάκις ἐκπίπτων εἰς τὸ παιδαριωδέστα-
τον. παραθήσομαι δὲ τἀνδρὸς ἓν ἢ δύο, ἐπειδὴ τὰ πλείω προέλα-
βεν ὁ Κεκίλιος. ἐπαινῶν Ἀλέξανδρον τὸν μέγαν ‘ὃς τὴν Ἀσίαν 2
ὅλην’ φησίν ‘ἔτεσιν ἐλάττοσι παρέλαβεν ἢ ὅσοις τὸν ὑπὲρ τοῦ πρὸς
Πέρσας πολέμου πανηγυρικὸν λόγον Ἰσοκράτης ἔγραψεν’. θαυμα-
στή γε τοῦ Μακεδόνος ἡ πρὸς τὸν σοφιστὴν σύγκρισις· δῆλον γάρ,
ὦ Τίμαιε, ὡς οἱ Λακεδαιμόνιοι διὰ τοῦτο πολὺ τοῦ Ἰσοκράτους κατ’
ἀνδρίαν ἐλείποντο, ἐπειδὴ οἱ μὲν τριάκοντα ἔτεσι Μεσσήνην παρέλα-
βον, ὁ δὲ τὸν πανηγυρικὸν ἐν μόνοις δέκα συνετάξατο. τοῖς δὲ
Ἀθηναίοις ἁλοῦσιν περὶ Σικελίαν τίνα τρόπον ἐπιφωνεῖ; ὅτι ‘εἰς τὸν
Ἑρμῆν ἀσεβήσαντες καὶ περικόψαντες αὐτοῦ τὰ ἀγάλματα, διὰ 3
τοῦτ’ ἔδωκαν δίκην, οὐχ ἥκιστα δι’ ἕνα ἄνδρα, ὃς ἀπὸ τοῦ παρα-
νομηθέντος διὰ πατέρων ἦν, Ἑρμοκράτην τὸν Ἕρμωνος.’ ὥστε θαυ-
μάζειν με, Τερεντιανὲ ἥδιστε, πῶς οὐ καὶ εἰς Διονύσιον γράφει τὸν
τύραννον· ‘ἐπεὶ γὰρ εἰς τὸν Δία καὶ τὸν Ἡρακλέα δυσσεβὴς ἐγέ-

1 ἄκαιρον καὶ del. Weiskius | μέτρου Faber | 2 πολλάκις γάρ τινες ὥσπερ ἐν μέθαις Faber | 3 ἀλλ’ ἴδια Reiskius ἴδια δ’ ἑαυτῶν Faber | 4 εἰκότας, ὡς Weiskius | 12 τἀ*νδρὸς P | 14 ἔτεσιν ἐλάττοσι scripsi: ἐν ἐλάττοσι P ἐν ἐλάττοσιν ἔτεσι Spengelius ἐν ἐλάττοσι παρέλαβεν ἔτεσι Manutius | παρέλαβεν P | 16 τοῦ ἡγέμονος Faber | πρ̊ P | 17 ἰ*σοκράτους P | 18 ἀνδρ*ίαν P | εἴκοσι Faber | μεσήνην P σ add. p. | 21 ἑρμῆν P | 22 δὲ δι’ Faber | ἦν Manutius: ἂν P | 25 γὰρ del. Morus

20 DIONYSIUS HALIC. DE COMP. V. 25 P. 208 R. ὁ μὲν γὰρ ⟨Ἰσοκράτης⟩ τὸν πανηγυρικὸν λόγον, ὡς οἱ τὸν ἐλάχιστον χρόνον γράφοντες ἀποφαίνουσιν, ἐν ἔτεσι δέκα συνετάξατο. PLUTARCHUS V. X ORAT. p. 837 F. τὸν δὲ πανηγυρικὸν ἔτεσι δέκα συνέθηκεν, οἱ δὲ δεκάπεντε λέγουσιν. | 21 PLUTARCHUS NIC. 1 ὅταν λέγῃ Τίμαιος τοῖς Ἀθηναίοις οἰωνὸν ἡγήσασθαι, γεγονέναι τὸν ἀπὸ τῆς νίκης ἔχοντα τοὔνομα στρατηγὸν ἀντειπόντα πρὸς τὴν στρατηγίαν, καὶ τῇ περικοπῇ τῶν ἑρμῶν προσημαίνειν αὐτοῖς τὸ δαιμόνιον, ὡς ὑπὸ Ἑρμοκράτους τοῦ Ἕρμωνος πλεῖστα πείσονται παρὰ τὸν πόλεμον.

νετο, διὰ τοῦτ' αὐτὸν Δίων καὶ Ἡρακλείδης τῆς τυραννίδος ἀφεί- 4
λοντο.' τί δὲ δεῖ περὶ Τιμαίου λέγειν, ὅπου γε καὶ οἱ ἥρωες ἐκεῖνοι,
4 Ξενοφῶντα λέγω καὶ Πλάτωνα, καίτοιγ' ἐκ τῆς Σωκράτους ὄντες
παλαίστρας, ὅμως διὰ τὰ οὕτως μικροχαρῆ ἑαυτῶν ποτε ἐπιλανθά-
νονται; ὁ μέν γε ἐν τῇ Λακεδαιμονίων γράφει πολιτείᾳ· 'ἐκείνων
μὲν γοῦν ἧττον μὲν ἂν φωνὴν ἀκούσαις ἢ τῶν λιθίνων, ἧττον δ' ἂν
ὄμματα στρέψαις ἢ τῶν χαλκῶν, αἰ|δημονεστέρους δ' ἂν αὐτοὺς 181 r.
ἡγήσαιο καὶ αὐτῶν τῶν ἐν τοῖς ὀφθαλμοῖς παρθένων.' Ἀμφικράτει
καὶ οὐ Ξενοφῶντι ἔπρεπε τὰς ἐν τοῖς ὀφθαλμοῖς ἡμῶν κόρας λέγειν
παρθένους αἰδήμονας. οἷον δὲ Ἡράκλεις τὸ τὰς ἁπάντων ἑξῆς κόρας
αἰσχυντηλὰς εἶναι πεπεῖσθαι, ὅπου φασὶν οὐδενὶ οὕτως ἐνσημαίνεσθαι
τὴν † τινων ἀναίδειαν ὡς ἐν τοῖς ὀφθαλμοῖς· ἰταμόν 'οἰνοβαρές, κυνὸς
5 ὄμματ' ἔχων' φησίν. ὁ μέντοι Τίμαιος, ὡς φωρίου τινὸς ἐφαπτό-
μενος, οὐδὲ τοῦτο Ξενοφῶντι τὸ ψυχρὸν κατέλιπεν. φησὶ γοῦν ἐπὶ
τοῦ Ἀγαθοκλέους καὶ τοῦ τὴν ἀνεψιὰν ἑτέρῳ δεδομένην ἐκ τῶν ἀνα-
καλυπτηρίων ἁρπάσαντα ἀπελθεῖν· 'ὅ τίς ἂν ἐποίησεν ἐν ὀφθαλμοῖς
κόρας, μὴ πόρνας ἔχων;' τί δὲ ὁ τἆλλα θεῖος Πλάτων; τὰς δέλτους
6 θέλων εἰπεῖν 'γράψαντες' φησίν 'ἐν τοῖς ἱεροῖς θήσουσι κυπαριττίνας
μνήμας'. καὶ πάλιν· 'περὶ δὲ τειχῶν, ὦ Μέγιλλε, ἐγὼ ξυμφεροί-
μην ἂν τῇ Σπάρτῃ τὸ καθεύδειν ἐᾶν ἐν τῇ γῇ κατακείμενα τὰ
τείχη, καὶ μὴ ἐπανίστασθαι'. καὶ τὸ ἡροδότειον οὐ πόρρω, τὸ

2 τί δὲ δεῖ Schurzfleischius: δὲ om. P | καίτοι τί δεῖ Manutius καὶ τί δεῖ Toupius | 3 γε P | 5 τοῦτο Ξενοφῶντος in marg. P | ἐκείνων γ' οὖν codd Xenoph. | 7 μεταστρέψαις codd. Xenoph. | 8 ἐν τοῖς θαλάμοις παρθένων codd. Xenoph. | 12 τινῶν P fort. κυνῶν | τῶν — ἰταμῶν Spengelius | ὡς τῷ — ἰταμῷ Toupius | 13 φησὶν Ὅμηρος G. S. A. class. journ. III. 5 p. 65 | ἰταμὸν del. Cumanudes spec. emendatt. p. 11 | ἰταμὸν — φησίν del. Kayserus n. iahrb. LXX p. 292 | φωρίου κύων ἐφαπτόμενος Faber | 15 Ἀγαθοκλέους αὐτὸν τὴν Tollius | καὶ τοῦ Reiskius: καὶ τὸ P | 18 τί δέ; Morus | 18 περὶ ΠΛΑΤΩΝΟΣ in marg. P | 20 ἔγωγ' ἂν τῇ Σπάρτῃ ξυμφεροίμην codd. Plat. | 22 ἐπανιστάναι codd. Plat. | περὶ ΗΡΟΔΟΤΟΥ in marg. P

9 XENOPHON DE RE P. LACED. 3, 5. | 14 ARETAEUS DE CAUS. MORB. I, 7 τάδε πάσχει ἄμφω τὰ εἴδεα καὶ ἡ ἐν τοῖς ὀφθαλμοῖσι παρθένος. | 16 HOMERUS IL. A, 225. schol. BL τὸ δὲ διὰ τὸ μὴ περιφρονεῖσθαι ἰταμὸν ἀναιδείαν εἶπε. | 20 PLUTARCHUS DE VIT. PUD. I p. 528 E ὅθεν ὁ μὲν ῥήτωρ τὸν ἀναίσχυντον οὐκ ἔφη κόρας ἐν τοῖς ὄμμασιν ἔχειν, ἀλλὰ πόρνας. | 20 PLATO DE LEGG. V P. 741 C. | 21 PLATO DE LEGG. VI P. 778 D. | 22 HERODOTUS V, 18. PLUTARCHUS ALEX. 21 τὰς δὲ ἄλλας αἰχμαλώτους ὁρῶν ὁ Ἀλέξανδρος κάλλει καὶ μεγέθει διαφερούσας ἔλεγε παίζων, ὡς εἰσὶν ἀλγηδόνες ὀμμάτων αἱ Περσίδες. EUSTATHIVS AD HOM. IL. Γ, 446 P. 433 πρὸς δὲ ταῦτα ἑτεροιοῦσθαι δοκεῖ παρά τινος ῥηθὲν μεγάλου σοφοῦ τὸ — τὰς κόρας ἀλγηδόνας ὀφθαλμῶν εἶναι, ὃ καὶ ὑπ' εὐθύνην πίπτει. πῶς γὰρ ἀλγυνοῦσιν ὀφθαλμοὺς αἱ γλυκὺν ἐμποιοῦσαι ἵμερον διὰ ὁράσεως.

4 φάσαι τὰς καλὰς γυναῖκας 'ἀλγηδόνας ὀφθαλμῶν'. καίτοιγε ἔχει
τινὰ παραμυθίαν· οἱ γὰρ παρ' αὐτῷ ταῦτα λέγοντες εἰσιν οἱ βάρ- 7
βαροι καὶ ἐν μέθῃ. ἀλλ' οὐδ' ἐκ τοιούτων προσώπων διὰ μικροψυ-
χίαν καλὸν ἀσχημονεῖν πρὸς τὸν αἰῶνα.

Ἅπαντα μέντοι τὰ οὕτως ἄσεμνα διὰ μίαν ἐμφύεται τοῖς
λόγοις αἰτίαν, διὰ τὸ περὶ τὰς νοήσεις καινόσπουδον, περὶ ὃ δὴ μά- 5
182r λιστα κορυβαντιῶσιν οἱ νῦν. ἀφ' ὧν γὰρ ἡμῖν τἀγα|θά, σχεδὸν
ἀπ' αὐτῶν τούτων καὶ τὰ κακὰ γεννᾶσθαι φιλεῖ. ὅθεν ἐπίφορον
εἰς συνταγμάτων κατόρθωσιν τά τε κάλλη τῆς ἑρμηνείας καὶ τὰ
ὕψη καὶ πρὸς τούτοις αἱ ἡδοναί· καὶ αὐτὰ ταῦτα καθάπερ τῆς
ἐπιτυχίας, οὕτως ἀρχαὶ καὶ ὑποθέσεις καὶ τῶν ἐναντίων καθίσταν-
ται. τοιοῦτόν πως καὶ αἱ μεταβολαὶ καὶ ὑπερβολαὶ καὶ τὰ πλη-
θυντικά· δείξομεν δ' ἐν τοῖς ἔπειτα τὸν κίνδυνον, ὃν ἔχειν ἐοίκασι.
διόπερ ἀναγκαῖον ἤδη διαπορεῖν καὶ ὑποτίθεσθαι, δι' ὅτου τρόπου
τὰς ἀνακεκραμένας κακίας τοῖς ὑψηλοῖς ἐκφεύγειν δυνάμεθα. ἔστι
δέ, ὦ φίλος, εἴ τινα περιποιησαίμεθ' ἐν πρώτοις καθαρὰν τοῦ κατ'
ἀλήθειαν ὕψους ἐπιστήμην καὶ ἐπίκρισιν. καίτοι τὸ πρᾶγμα δύσλη- 6
πτον· ἡ γὰρ τῶν λόγων κρίσις πολλῆς ἐστι πείρας τελευταῖον ἐπι-
γέννημα· οὐ μὴν ἀλλ', ὡς εἰπεῖν ἐν παραγγέλματι, ἐντεῦθέν ποθεν
ἴσως τὴν διάγνωσιν αὐτῶν οὐκ ἀδύνατον πορίζεσθαι.

Εἰδέναι χρή, φίλτατε, διότι, καθάπερ κἀν τῷ κοινῷ βίῳ οὐδὲν 7
ὑπάρχει μέγα, οὗ τὸ καταφρονεῖν ἐστι μέγα, οἷον πλοῦτοι τιμαὶ
δόξαι τυραννίδες καὶ ὅσα δὴ ἄλλα ἔχει πολὺ τὸ ἔξωθεν προστρα-
γῳδούμενον, οὐδ' ἂν τῷ γε φρονίμῳ δόξαιεν ἀγαθὰ ὑπερβάλλοντα,
ὧν αὐτὸ τὸ περιφρονεῖν ἀγαθὸν οὐ μέτριον — θαυμάζουσι γοῦν τῶν
ἐχόντων αὐτὰ μᾶλλον τοὺς δυναμένους ἔχειν καὶ διὰ μεγαλοψυ-
χίαν ὑπερορῶντας —, τῇδέ που καὶ ἐπὶ τῶν διηρμένων ἐν ποιήμασι καὶ
λόγοις ἐπισκεπτέον, μή τινα μεγέθους φαντασίαν ἔχοι τοιαύτην, ᾗ
182v. πο|λὺ πρόσκειται τὸ εἰκῇ προσαναπλαττόμενον, ἀναπτυττόμενα δὲ
ἄλλως εὑρίσκοιτο χαῦνα, ὧν τοῦ θαυμάζειν τὸ περιφρονεῖν εὐγενέ-
στερον. φύσει γάρ πως ὑπὸ τἀληθοῦς ὕψους ἐπαίρεταί τε ἡμῶν ἡ 2

3 προφάσεων Faber | 4 αἰῶνα ἅπαντα. Ταῦτα μέντοι Stephanus | 6 κενόσπουδον Vaucherus | 8 φιλεῖ P | τὸ γοῦν ἐπίφορον Faber οἷον ἐπίφορον Weiskius | φιλεῖ. ἐπίφορα μὲν οὖν εἰς Tollius | 9 κάλλει corr. κάλλη P | 10 καὶ τὰ τοιαῦτα Faber | 11 ὑποθέσεις τῶν Faber | 16 ὦ φιλότης Faber | 17 καίτοι — δύσληπτον del. Vaucherus | 24 οὐδ' Reiskius: οὐκ P | δόξειεν P | 28 ἔχει Kayserus n. iahrb. LXX p. 294 | ἔχοι γε Nolteius ztschr. f. alterth. wiss. 1854 p. 303. | τοαύτη P τοιαύτην p | 30 ὅλως Schurzfleischius μᾶλλον Morus | ὧν — εὐγενέστερον del. Vaucherus

ψυχὴ καὶ γαῦρόν τι ἀνάστημα λαμβάνουσα πληροῦται χαρᾶς καὶ 7
3 μεγαλαυχίας, ὡς αὐτὴ γεννήσασα ὅπερ ἤκουσεν. ὅταν οὖν ὑπ᾽
ἀνδρὸς ἔμφρονος καὶ ἐμπείρου λόγων πολλάκις ἀκουόμενόν τι πρὸς
μεγαλοφροσύνην τὴν ψυχὴν μὴ συνδιατιθῇ μηδ᾽ ἐγκαταλείπῃ τῇ
διανοίᾳ πλεῖον τοῦ λεγομένου τὸ ἀναθεωρούμενον, πίπτῃ δ᾽, ἂν εὖ
τὸ συνεχὲς ἐπισκοπῇς, εἰς ἀπαύξησιν, οὐκ ἂν ἔτ᾽ ἀληθὲς ὕψος εἴη
μέχρι μόνης τῆς ἀκοῆς σωζόμενον. τοῦτο γὰρ τῷ ὄντι μέγα, οὗ
πολλὴ μὲν ἡ ἀναθεώρησις, δύσκολος δέ, μᾶλλον δ᾽ ἀδύνατος ἡ
4 κατεξανάστασις, ἰσχυρὰ δὲ ἡ μνήμη καὶ δυσεξάλειπτος. ὅλως δὲ
καλὰ νόμιζε ὕψη καὶ ἀληθινὰ τὰ διὰ παντὸς ἀρέσκοντα καὶ πᾶ-
σιν. ὅταν γὰρ τοῖς ἀπὸ διαφόρων ἐπιτηδευμάτων βίων ζήλων ἡλι-
κιῶν λόγων ἕν τι καὶ ταὐτὸν ἅμα περὶ τῶν αὐτῶν ἅπασι δοκῇ,
τόθ᾽ ἡ ἐξ ἀσυμφώνων ὡς κρίσις καὶ συγκατάθεσις τὴν ἐπὶ τῷ θαυ-
μαζομένῳ πίστιν ἰσχυρὰν λαμβάνει καὶ ἀναμφίλεκτον.

Ἐπεὶ δὲ πέντε, ὡς ἂν εἴποι τις, πηγαί τινές εἰσιν αἱ τῆς ὑψη-
8 γορίας γονιμώταται — προϋποκειμένης ὥσπερ ἐδάφους τινὸς κοινοῦ ταῖς
πέντε ταύταις ἰδέαις τῆς ἐν τῷ λέγειν δυνάμεως, ἧς ὅλως χωρὶς οὐ-
δέν —, πρῶτον μὲν καὶ κράτιστον τὸ περὶ τὰς νοήσεις ἁδρεπήβολον, ὡς
κἀν τοῖς περὶ Ξενοφῶντος ὡρισάμεθα, δεύτερον δὲ τὸ σφοδρὸν καὶ
ἐνθουσιαστικὸν πάθος· ἀλλ᾽ αἱ μὲν δύο αὗται τοῦ ὕψους κατὰ τὸ
πλέον αὐθιγενεῖς συστάσεις, αἱ λοιπαὶ δ᾽ ἤδη καὶ διὰ τέχνης, ἥ τε
ποιὰ τῶν σχημάτων πλάσις — δισσὰ δέ που ταῦτα, τὰ μὲν νοήσεως,
θάτερα δὲ λέξεως —, ἐπὶ δὲ τούτοις ἡ γενναία φράσις — ἧς μέρη πάλιν
ὀνομάτων τε ἐκλογὴ καὶ ἡ τροπικὴ καὶ πεποιημένη λέξις —, πέμπτη
δὲ μεγέθους αἰτία καὶ συγκλείουσα τὰ πρὸ αὐτῆς ἅπαντα, ἡ ἐν

1 ἀνάστημα ς: ἀνάθημα P | 4 ἐγκαταλίπηι corr. ἐγκαταλείπηι P | 5 ἂν εὖ Reiskius Weiskius f.: ἂν** P ἄνευ p ἂν τὸ ς | ἂν αὐτὸ (Pearcius) συνεχῶς Wakefieldus silv. crit. IV p. 175 | 6 ἐπισκοπῇ Toupius ἀνασκοπῇς Faber | ἂν —, ἐπισκοπῇς del. Vaucherus | 11 ἡλικιῶν τρόπων ἕν Morus | 13 ἀσυμφρόνων Tollius | κρᾶσις Pearcius | 14 καὶ del. Spengelius | 16 προ*υποκειμέν*ς corr. προυποκειμένης P | 17 ἧς ὄφελος Toupius | 18 ἁδρὸν καὶ ἐπήβολον Stephanus ἁδρὰς ἐπήβολον Ruhnkenius | ὡς — p. 22, 13 ἰδέσθαι om. P infra in marg. adscriptum a manu rec. λείπει *desunt octo folia seu quaternio* KE | 19 ὡρισάμεθεν d | 22 δισσὰ — λέξεως del. Spengelius | 25 αὐτῆς Spengelius: ἑαυτῆς ς | πρὸ ἑαυτῆς c πρὸς αὐτῆς d.

2 QUINTILIANUS VIII, 2, 21 sed auditoribus etiam nonnullis grata sunt haec, quae cum intellexerint, acumine suo delectantur et gaudent, non quasi audiverint, sed quasi invenerint. | 22 LONGINUS RHET. P. 143 B. I p. 310 SP. ὅσα δὲ σχήματα τῶν ἐννοιῶν ὠνόμασται, οἷον προδιόρθωσις ἐπιδιόρθωσις ἀποσιώπησις παράλειψις εἰρωνεία ἠθοποιία, ἅπαντα ταῦτα οὔ μοι δοκεῖ δικαίως σχήματα καλεῖσθαι, ἀλλ᾽ ἔννοιαι ἐνθυμήματα καὶ λογισμοὶ τοῦ πιθανοῦ χάριν καὶ πίστεων εἴδη.

8 ἀξιώματι καὶ διάρσει σύνθεσις· φέρε δὴ τὰ ἐμπεριεχόμενα καθ'
ἑκάστην ἰδέαν τούτων ἐπισκεψώμεθα, τοσοῦτον προειπόντες, ὅτι τῶν
πέντε μορίων ὁ Κεκίλιος ἔστιν ἃ παρέλιπεν, ὡς καὶ τὸ πάθος
ἀμέλει. ἀλλ' εἰ μὲν ὡς ἕν τι ταῦτ' ἄμφω, τό τε ὕψος καὶ τὸ 2
παθητικόν, καὶ ἔδοξεν αὐτῷ πάντη συνυπάρχειν τε ἀλλήλοις καὶ
συμπεφυκέναι, διαμαρτάνει. καὶ γὰρ πάθη τινὰ διεστῶτα ὕψους
καὶ ταπεινὰ εὑρίσκεται, καθάπερ οἶκτοι λῦπαι φόβοι, καὶ ἔμπαλιν
πολλὰ ὕψη δίχα πάθους, ὡς πρὸς μυρίοις ἄλλοις καὶ τὰ περὶ
τοὺς Ἀλωάδας τῷ ποιητῇ παρατετολμημένα

Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν· αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἄμβατος εἴη·

καὶ τὸ τούτοις ἔτι μεῖζον ἐπιφερόμενον 8

καί νύ κεν ἐξετέλεσσαν.

παρά γε μὴν τοῖς ῥήτορσι τὰ ἐγκώμια καὶ τὰ πομπικὰ καὶ 3
ἐπιδεικτικὰ τὸν μὲν ὄγκον καὶ τὸ ὑψηλὸν ἐξ ἅπαντος περιέχει, πά-
θους δὲ χηρεύει κατὰ τὸ πλεῖστον, ὅθεν ἥκιστα τῶν ῥητόρων οἱ πε-
ριπαθεῖς ἐγκωμιαστικοὶ ἢ ἔμπαλιν οἱ ἐπαινετικοὶ περιπαθεῖς. εἰ δ' 4
αὖ πάλιν ἐξ ὅλου μὴ ἐνόμισεν ὁ Κεκίλιος τὸ ἐμπαθὲς τὰ ὕψη
ποτὲ συντελεῖν καὶ διὰ τοῦτ' οὐχ ἡγήσατο μνήμης ἄξιον, πάνυ διη-
πάτηται· θαρρῶν γὰρ ἀφορισαίμην ἄν, ὡς οὐδὲν οὕτως ὡς τὸ γεν-
ναῖον πάθος, ἔνθα χρή, μεγαλήγορόν ἐστι, ὥσπερ ὑπὸ μανίας τινὸς
καὶ πνεύματος ἐνθουσιαστικοῦ ἐκπνέον καὶ οἱονεὶ φοιβάζον τοὺς
λόγους.

Οὐ μὴν ἀλλ' ἐπεὶ τὴν κρατίστην μοῖραν ἐπέχει τῶν ἄλλων 9
τὸ πρῶτον, λέγω δὲ τὸ μεγαλοφυές, χρὴ κἀνταῦθα, καὶ εἰ δωρη-
τὸν τὸ πρᾶγμα μᾶλλον ἢ κτητόν, ὅμως καθ' ὅσον οἷόν τε τὰς ψυ-
χὰς ἀνατρέφειν πρὸς τὰ μεγέθη καὶ ὥσπερ ἐγκύμονας ἀεὶ ποιεῖν
γενναίου παραστήματος. τίνα, φήσεις, τρόπον; γέγραφά που καὶ 2

1 καθ' ἕκαστον corr. ἑκάστην d | 3 καὶ in marg. d | num τοῦ πάθους ἀμελεῖ? | πάθος. ἀλλ' εἰ μὲν ἀμέλει ὡς sive ὡς ἀμέλει Spengelius | 4 ἐν τῇ ταυτε ἄμφω d | ταὐτὸ Dobreeus adv. I p. 565 | ἄμφω ἐνόμιζε καὶ Tollius ἄμφω ἐποίησε Pearcius ἄμφω ἐνομίσθη καὶ Toupius | 5 παθητικὸν ἔδοξε Pearcius παθητικὸν ὄντα, καὶ Reiskius | ἔνδοξεν d | σὴν ὑπάρχειν d | 9 υἱωάδας d | 10 μέμασιν c | 11 εἰνοσίφυλον d | ἀμματὸς c | 12 ἔστι c | 15 παρέχει Reiskius | 16 πάθους καὶ χηρεύει Toupius | χηρέσει corr. 2 m. c | 17 ἐκωμιαστικοὶ c | 18 ἐξ ὅλου del. Vaucherus | μηδὲν Nolteius ztschr. f. alterth. wiss. 1854 p. 303 | ἐνόμησεν d | ὁ om. c | ἐς ὕψη Faber | 21 ἔνθα χρή del. Vaucherus | ἐστι om. cd | 21 ὑπὸ — πνεύματος del. Vaucherus | ἐν θουσιαστικοῦ Faber: ἐνθουσιαστικῶς ς | 22 ἐκπνέων d | ἐμπνέον vel ἐπιπνέον Morus | 28 φήσεις cd: φήσει τις ς δεήσει in marg. Robortellus

9 HOMERUS OD. λ, 314

ἑτέρωθι τὸ τοιοῦτον ὕψος μεγαλοφροσύνης ἀπήχημα. ὅθεν καὶ φωνῆς δίχα θαυμάζεταί ποτε ψιλὴ καθ' ἑαυτὴν ἡ ἔννοια δι' αὐτὸ τὸ μεγαλόφρον, ὡς ἡ τοῦ Αἴαντος ἐν νεκυίᾳ σιωπὴ μέγα καὶ παντὸς ὑψηλότερον λόγου. 9
3 πρῶτον οὖν τὸ ἐξ οὗ γίνεται προϋποτίθεσθαι πάντως ἀναγκαῖον, ὡς ἔχειν δεῖ τὸν ἀληθῆ ῥήτορα μὴ ταπεινὸν φρόνημα καὶ ἀγεννές. οὐδὲ γὰρ οἷόν τε μικρὰ καὶ δουλοπρεπῆ φρονοῦντας καὶ ἐπιτηδεύοντας παρ' ὅλον τὸν βίον θαυμαστόν τι καὶ τοῦ παντὸς αἰῶνος ἐξενεγκεῖν ἄξιον· μεγάλοι δὲ οἱ λόγοι τούτων, κατὰ τὸ εἰκός, ὧν ἂν ἐμβριθεῖς ὦσιν αἱ ἔννοιαι.
4 ταύτῃ καὶ εἰς τοὺς μάλιστα φρονηματίας ἐμπίπτει τὰ ὑπερφυᾶ· ὁ γὰρ τῷ Παρμενίωνι φήσαντι 'ἐγὼ μὲν ἠρκέσθην * *

* * τὸ ἐπ' οὐρανὸν ἀπὸ γῆς διάστημα· καὶ τοῦτ' ἂν εἴποι τις οὐ μᾶλλον τῆς Ἔριδος ἢ Ὁμήρου μέτρον.
5 ᾧ ἀνόμοιόν γε τὸ ἡσιόδειον ἐπὶ τῆς Ἀχλύος, εἴγε Ἡσιόδου καὶ τὴν ἀσπίδα θετέον,

τῆς ἐκ μὲν ῥινῶν μύξαι ῥέον·

1 ὅτι τὸ τοιοῦτον Toupius | 2 ἔνοια d | 5 δεῖ om. c | 9 εἰκῶς d | ἐμβριθεὶς d | 11 ἂν ἠρκέσθην ς ἀνηρκέ d σθην add. 2 m. | ἠρκέσθην τούτοις Toupius | post ἠρκέσθην in P desunt sex folia | λείπουσιν ὀκτὼ ἢ δέκα φύλλα c in marg. | 14 εἴποι Tollius: εἰπεῖν ς d εἶπεν c | 16 εἰσιόδειον d | ἤγε d | 17 τῆς δ' ἐκ Manutius

3 HOMERUS OD. λ, 543

οἴη δ' Αἴαντος ψυχὴ Τελαμωνιάδαο
νόσφιν ἀφεστήκει κεχολωμένη εἵνεκα νίκης,
τήν μιν ἐγὼ νίκησα δικαζόμενος παρὰ νηυσίν.
. . . . . . . . .
552 τὸν μὲν ἐγὼν ἐπέεσσι προσηύδων μειλιχίοισιν
. . . . . . . . .
663 ὡς ἐφάμην, ὁ δὲ μ' οὐδὲν ἀμείβετο, βῆ δὲ μετ' ἄλλας
ψυχὰς εἰς ἔρεβος νεκύων κατατεθνηώτων.

SCHOL. δῆλον οὖν ὅτι καὶ τῶν παρὰ τραγῳδοῖς λόγων βέλτιον αὐτοῦ ἡ σιωπή. | 6 DEMOSTHENES OLYNTH. 3, 22 (DE SYNT. 25) ἔστι δ' οὐδέποτ' οἶμαι μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν μικρὰ καὶ φαῦλα πράττοντας· ὁποῖ' ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημα ἔχειν. | 11 ARRIANUS II, 25, 2 Παρμενίωνα μὲν λέγουσιν Ἀλεξάνδρῳ εἰπεῖν, ὅτι αὐτὸς ἂν Ἀλέξανδρος ὢν ἐπὶ τούτοις ἠγάπησε καταλύσας τὸν πόλεμον μηκέτι πρόσω κινδυνεύειν. Ἀλεξάνδρου δὲ Παρμενίωνι ἀποκρίνασθαι, ὅτι καὶ αὐτὸς ἄν, εἴπερ Παρμενίων ἦν, οὕτως ἔπραξεν. | 12 HOMERUS IL. Δ, 442

ἥτ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει.

15 HESIODUS SCUT. 267 | ARGUMENTUM SCUTI ὑπώπτευκε δὲ Ἀρι-

9 οὐ γὰρ δεινὸν ἐποίησε τὸ εἴδωλον, ἀλλὰ μισητόν. ὁ δὲ πῶς μεγεθύνει τὰ δαιμόνια;

ὅσσον δ' ἠεροειδὲς ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν,
ἥμενος ἐν σκοπιῇ, λεύσσων ἐπὶ οἴνοπα πόντον·
τόσσον ἐπιθρώσκουσι θεῶν ὑψηχέες ἵπποι.

τὴν ὁρμὴν αὐτῶν κοσμικῷ διαστήματι καταμετρεῖ. τίς οὖν οὐκ ἂν εἰκότως διὰ τὴν ὑπερβολὴν τοῦ μεγέθους ἐπιφθέγξαιτο, ὅτι ἂν δὶς ἑξῆς ἐφορμήσωσιν οἱ τῶν θεῶν ἵπποι, οὐκέθ' εὑρήσουσιν ἐν κόσμῳ τόπον; ὑπερφυᾶ καὶ τὰ ἐπὶ τῆς θεομαχίας φαντάσματα 6

ἀμφὶ δ' ἐσάλπιγξεν μέγας οὐρανὸς οὔλυμπός τε.

* * *

ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύς,
δείσας δ' ἐκ θρόνου ἆλτο καὶ ἴαχε, μή οἱ ἔπειτα
γαῖαν ἀναρρήξειε Ποσειδάων ἐνοσίχθων,
οἰκία δὲ θνητοῖσι καὶ ἀθανάτοισι φανείη,
σμερδαλέ', εὐρώεντα, τά τε στυγέουσι θεοί περ.

ἐπιβλέπεις, ἑταῖρε, ὡς ἀναρρηγνυμένης μὲν ἐκ βάθρων γῆς αὐτοῦ τε

1 ἐποιήσθη d | ὁ δὲ ὑπερμεγεθύνει Manutius | 3 ὅσον cd | 4 λεύσων d | 5 ἐπιθρώσκουσιν cd | ὑψεπηχέες c corr. 2 m. ὑψαυχένες Manutius | ἵπποι — αὐτῶν om. d in marg. add. 2 m | 6 τίς οὖν — τόπον del. Nolteius ztschr. f. alterth. wiss. 1854 p. 303. | 8 ἐβρήσκουσιν d εὑρίσκουσιν c | 9 καὶ τά Manutius: καὶ om. bc τὰ om. ς | 10 σάλπιγξεν d | οὔλημπος d | huc transferendus versus p. 21, 15 | 12 καί· ἔδδεισεν Portus | 13 δ' ἐκ — ἀναρρήξειε om. d in marg. 2 m. add. | ἴσχε bc | οἱ ὕπερθεν Homeri codd. | 17 τε scripsi: δὲ ς

στοφάνης — ὡς οὐκ οὖσαν αὐτὴν Ἡσιόδου —, Μεγακλῆς ⟨l. Μεγακλείδης⟩ δὲ ὁ Ἀθηναῖος γνήσιον μὲν οἶδε τὸ ποίημα, ἄλλως δὲ ἐπιτιμᾷ τῷ Ἡσιόδῳ. — Ἀπολλώνιος δὲ ὁ Ῥόδιος ἐν τῷ γ' φησὶν αὐτοῦ εἶναι· — ὡσαύτως δὲ καὶ Στησίχορός φησιν Ἡσιόδου εἶναι τὸ ποίημα. **CRAMERI ANECD. OXON. IV** p. 315 πολλὰ γὰρ νοθευόμενά ἐστιν, ὡς — Ἡσιόδου ἀσπίς. **BEKKERI ANECD.** p. 672 τοῦτο δὲ διὰ τὰ ψευδεπίγραφα τῶν βιβλίων, ὡς ἔχει ἡ ἀσπὶς Ἡσιόδου. p. 1165 εἰσὶ γὰρ — ὁμώνυμα βιβλία ψευδῆ, οἷον ἡ ἀσπὶς Ἡσιόδου. **THEODOS. GRAMM.** p. 54 εἰσὶ γὰρ πολλὰ ψευδεπίγραφα τῶν βιβλίων, ὡς ἡ ἀσπὶς Ἡσιόδου. | **1 HOMERUS IL. E, 770** | **10 HOMERUS IL. Φ, 388**

ἀμφὶ δ' ἐσάλπιγξεν μέγας οὐρανός· ἄιε δὲ Ζεύς

**DEMETRIUS DE ELOC.** 83 δεῖ μέντοι μὴ λανθάνειν, ὅτι ἔνιαι μεταφοραὶ σμικροπρέπειαν ποιοῦσι μᾶλλον ἢ μέγεθος, καίτοι τῆς μεταφορᾶς πρὸς ὄγκον λαμβανομένης, ὡς τό

ἀμφὶ δ' ἐσάλπιγξεν μέγας οὐρανός.

οὐρανὸν γὰρ ὅλον ἠχοῦντα οὐκ ἐχρῆν προσεικάσαι ἠχούσῃ σάλπιγγι, πλὴν εἰ μή τις ἄρα ἀπολόγοιτο ὑπὲρ τοῦ Ὁμήρου λέγων· ὡσαύτως ἤχησε μέγας οὐρανός, ὡς ἂν ἠχήσειε σαλπίζων ὅλος οὐρανός. | **12 HOMERUS IL. Υ, 61**

γυμνουμένου ταρτάρου, ἀνατροπὴν δὲ δι᾽ ὅλου καὶ διάστασιν τοῦ 9
κόσμου λαμβάνοντος, πάνθ᾽ ἅμα οὐρανὸς ᾅδης, τὰ θνητὰ τὰ ἀθά-
7 νατα [ἅμα] τῇ τότε συμπολεμεῖ καὶ συγκινδυνεύει μάχῃ; ἀλλὰ
ταῦτα φοβερὰ μέν, πλὴν [ἄλλως] εἰ μὴ κατ᾽ ἀλληγορίαν λαμ-
βάνοιτο, παντάπασιν ἄθεα καὶ οὐ σώζοντα τὸ πρέπον. Ὅμηρος
γάρ μοι δοκεῖ παραδιδοὺς τραύματα θεῶν, στάσεις τιμωρίας δά-
κρυα δεσμὰ πάθη πάμφυρτα τοὺς μὲν ἐπὶ τῶν ἰλιακῶν ἀνθρώπους
ὅσον ἐπὶ τῇ δυνάμει θεοὺς πεποιηκέναι, τοὺς θεοὺς δὲ ἀνθρώπους.
ἀλλ᾽ ἡμῖν μὲν δυσδαιμονοῦσιν ἀπόκειται λιμὴν κακῶν ὁ θάνατος·
τῶν θεῶν δ᾽ οὐ τὴν φύσιν, ἀλλὰ τὴν ἀτυχίαν ἐποίησεν αἰώνιον.
8 πολὺ δὲ τῶν περὶ τὴν θεομαχίαν ἀμείνω ὅσα ἄχραντόν τι καὶ
μέγα τὸ δαιμόνιον ὡς ἀληθῶς καὶ ἄκρατον παρίστησιν, οἷα — πολλοῖς
δὲ πρὸ ἡμῶν ὁ τόπος ἐξείργασται — τὰ ἐπὶ τοῦ Ποσειδῶνος

τρέμε δ᾽ οὔρεα μακρὰ καὶ ὕλη
[καὶ κορυφαὶ Τρώων τε πόλις καὶ νῆες Ἀχαιῶν]
ποσσὶν ὑπ᾽ ἀθανάτοισι Ποσειδάωνος ἰόντος.

. . . . . . . . . . . .

1 δὲ δι᾽ ὅλου Ruhnkenius: δὲ ὅλου c d | 2 πάνθ αὔμα d | 3 ἅμα del. Ruhnkenius | συγκιδυνεύει c συγκιδενέβει d | μάχε d | 4 ἄλλως — λαμβάνοιτο del. Weiskius | πλὴν ἀλλ᾽ εἰ Manutius | 6 στάσειν d | 10 καὶ τὴν G. S. A. class. journ. III, 5 p 65 | 11 ὅσα Vaucherus: τὰ ὅσα ς | 12 ἀκήρατον Portus | πόλοις d | 13 τοπῶς d | ποδῶνος d σει in marg. add. 2 m. | 15 locum suum habet p. 20, 11

4 **PLUTARCHUS DE AUD. POET.** 4 p. 19 E οὓς ταῖς πάλαι μὲν ὑπονοίαις, ἀλληγορίαις δὲ νῦν λεγομέναις παραβιαζόμενοι καὶ διαστρέφοντες ἔνιοι μοιχευομένην φασὶν Ἀφροδίτην ὑπὸ Ἄρεως μηνύειν τὸν ἥλιον ὅτι τῷ τῆς Ἀφροδίτης ἀστέρι συνελθὼν ὁ τοῦ Ἄρεως μοιχικὰς ἀποτελεῖ γενέσεις. **SCHOL. B HOMERI (PORPHYRIUS)** τοῦ ἀσυμφόρου μὲν ὁ περὶ θεῶν ἔχεται καθόλου λόγος, ὁμοίως δὲ καὶ τοῦ ἀπρεποῦς· οὐ γὰρ πρέποντας τοὺς ὑπὲρ τῶν θεῶν μύθους φησίν. πρὸς δὲ τὴν τοιαύτην ἐπίλυσιν οἱ μὲν ἀπὸ τῆς λέξεως κατηγοροῦντες ἀλληγορίᾳ πάντα εἰρῆσθαι νομίζουσι ὑπὲρ τῆς τῶν στοιχείων φύσεως. — οὗτος μὲν οὖν τρόπος ἀπολογίας ἀρχαῖος ὢν πάνυ καὶ ἀπὸ Θεαγένους τοῦ Ῥηγίνου, ὃς πρῶτος ἔγραψε περὶ Ὁμήρου, τοιοῦτός ἐστιν ἀπὸ τῆς λέξεως. ἔνιοι δὲ ἀπὸ ἔθους ἀπολογοῦνται, — οἱ δ᾽ ἀπὸ τοῦ καιροῦ τοῦτο ⟨l. τοῦ τότε⟩ κατὰ τὴν Ἑλλάδα παραμυθοῦνται. | 9 **PLUTARCHUS CONS. AD APOLL.** 10 p. 106 c τοῦτον ⟨Αἰσχύλον⟩ γὰρ ἀπεμιμήσατο καὶ ὁ εἰπών

ὦ Θάνατε παιὰν ἰατρὸς μόλοις,
λιμὴν γὰρ ὄντως αἴδας ἀν᾽ αἶαν ⟨ἀνιᾶν Ruhnkenius⟩

**SOTADES (STOB. FLOR. CXX, 11)**

πάντων ὁ λιμὴν τῶν μερόπων ὁ θάνατός ἐστιν.

14 **HOMERUS IL.** N, 18 | 15 **IL.** Υ, 60. | 16 **IL.** N, 19

3 θος ἄκαιρον καὶ κενόν, ἔνθα μὴ δεῖ πάθους, ἢ ἄμετρον, ἔνθα μετρίου δεῖ. πολλὰ γὰρ ὥσπερ ἐκ μέθης τινὲς εἰς τὰ μηκέτι τοῦ πράγματος ἴδια ἑαυτῶν καὶ σχολικὰ παραφέρονται πάθη· εἶτα πρὸς οὐδὲν πεπονθότας ἀκροατὰς ἀσχημονοῦσιν εἰκότως, ἐξεστηκότες πρὸς οὐκ ἐξεστηκότας. πλὴν περὶ μὲν τῶν παθητικῶν ἄλλος ἡμῖν ἀπόκειται τόπος.

Θατέρου δὲ ὧν εἴπομεν, λέγω δὲ τοῦ ψυχροῦ, πλήρης ὁ Τί- 4
μαιος, ἀνὴρ τὰ μὲν ἄλλα ἱκανὸς καὶ πρὸς λόγων ἐνίοτε μέγεθος οὐκ ἄφορος, πολυΐστωρ, ἐπινοητικός· πλὴν ἀλλοτρίων μὲν ἐλεγκτικώτατος ἁμαρτημάτων, ἀνεπαίσθητος δὲ ἰδίων, ὑπὸ δὲ ἔρωτος τοῦ
181 r. ξένας νοήσεις ἀ|εὶ κινεῖν πολλάκις ἐκπίπτων εἰς τὸ παιδαριωδέστατον. παραθήσομαι δὲ τἀνδρὸς ἓν ἢ δύο, ἐπειδὴ τὰ πλείω προέλαβεν ὁ Κεκίλιος. ἐπαινῶν Ἀλέξανδρον τὸν μέγαν 'ὃς τὴν Ἀσίαν 2
ὅλην' φησίν 'ἔτεσιν ἐλάττοσι παρέλαβεν ἢ ὅσοις τὸν ὑπὲρ τοῦ πρὸς Πέρσας πολέμου πανηγυρικὸν λόγον Ἰσοκράτης ἔγραψεν'. θαυμαστή γε τοῦ Μακεδόνος ἡ πρὸς τὸν σοφιστὴν σύγκρισις· δῆλον γάρ, ὦ Τίμαιε, ὡς οἱ Λακεδαιμόνιοι διὰ τοῦτο πολὺ τοῦ Ἰσοκράτους κατ' ἀνδρίαν ἐλείποντο, ἐπειδὴ οἱ μὲν τριάκοντα ἔτεσι Μεσσήνην παρέλαβον, ὁ δὲ τὸν πανηγυρικὸν ἐν μόνοις δέκα συνετάξατο. τοῖς δὲ Ἀθηναίοις ἁλοῦσιν περὶ Σικελίαν τίνα τρόπον ἐπιφωνεῖ; ὅτι 'εἰς τὸν Ἑρμῆν ἀσεβήσαντες καὶ περικόψαντες αὐτοῦ τὰ ἀγάλματα, διὰ 3
τοῦτ' ἔδωκαν δίκην, οὐχ ἥκιστα δι' ἕνα ἄνδρα, ὃς ἀπὸ τοῦ παρανομηθέντος διὰ πατέρων ἦν, Ἑρμοκράτην τὸν Ἕρμωνος.' ὥστε θαυμάζειν με, Τερεντιανὲ ἥδιστε, πῶς οὐ καὶ εἰς Διονύσιον γράφει τὸν τύραννον· 'ἐπεὶ γὰρ εἰς τὸν Δία καὶ τὸν Ἡρακλέα δυσσεβὴς ἐγέ-

1 ἄκαιρον καὶ del. Weiskius | μέτρου Faber | 2 πολλάκις γάρ τινες ὥσπερ ἐν μέθαις Faber | 3 ἀλλ' ἴδια Reiskius ἴδια δ' ἑαυτῶν Faber | 4 εἰκότας, ὡς Weiskius | 12 τἀ*νδρὸς P | 14 ἔτεσιν ἐλάττοσι scripsi: ἐν ἐλάττοσι P ἐν ἐλάττοσιν ἔτεσι Spengelius ἐν ἐλάττοσι παρέλαβεν ἔτεσι Manutius | παρέλαβεν P | 16 τοῦ ἡγέμονος Faber | πρ̊ P | 17 ἰ*σοκράτους P | 18 ἀνδρ*ίαν P | εἴκοσι Faber | μεσήνην P σ add. p. | 21 ἑρμῆν P | 22 δὲ δι' Faber | ἦν Manutius: ἂν P | 25 γὰρ del. Morus

20 DIONYSIUS HALIC. DE COMP. V. 25 P. 208 R. ὁ μὲν γὰρ ⟨Ἰσοκράτης⟩ τὸν πανηγυρικὸν λόγον, ὡς οἱ τὸν ἐλάχιστον χρόνον γράφοντες ἀποφαίνουσιν, ἐν ἔτεσι δέκα συνετάξατο. PLUTARCHUS V. X ORAT. p. 837 F. τὸν δὲ πανηγυρικὸν ἔτεσι δέκα συνέθηκεν, οἱ δὲ δεκάπεντε λέγουσιν. | 21 PLUTARCHUS NIC. 1 ὅταν λέγῃ Τίμαιος τοῖς Ἀθηναίοις οἰωνὸν ἡγήσασθαι, γεγονέναι τὸν ἀπὸ τῆς νίκης ἔχοντα τοὔνομα στρατηγὸν ἀντειπόντα πρὸς τὴν στρατηγίαν, καὶ τῇ περικοπῇ τῶν ἑρμῶν προσημαίνειν αὐτοῖς τὸ δαιμόνιον, ὡς ὑπὸ Ἑρμοκράτους τοῦ Ἕρμωνος πλεῖστα πείσονται παρὰ τὸν πόλεμον.

νετο, διὰ τοῦτ' αὐτὸν Δίων καὶ Ἡρακλείδης τῆς τυραννίδος ἀφεί- 4
λοντο.' τί δὲ δεῖ περὶ Τιμαίου λέγειν, ὅπου γε καὶ οἱ ἥρωες ἐκεῖνοι,
4 Ξενοφῶντα λέγω καὶ Πλάτωνα, καίτοιγ' ἐκ τῆς Σωκράτους ὄντες
παλαίστρας, ὅμως διὰ τὰ οὕτως μικροχαρῆ ἑαυτῶν ποτε ἐπιλανθά-
νονται; ὁ μέν γε ἐν τῇ Λακεδαιμονίων γράφει πολιτείᾳ· 'ἐκείνων
μὲν γοῦν ἧττον μὲν ἂν φωνὴν ἀκούσαις ἢ τῶν λιθίνων, ἧττον δ' ἂν
ὄμματα στρέψαις ἢ τῶν χαλκῶν, αἰ|δημονεστέρους δ' ἂν αὐτοὺς 181 r.
ἡγήσαιο καὶ αὐτῶν τῶν ἐν τοῖς ὀφθαλμοῖς παρθένων.' Ἀμφικράτει
καὶ οὐ Ξενοφῶντι ἔπρεπε τὰς ἐν τοῖς ὀφθαλμοῖς ἡμῶν κόρας λέγειν
παρθένους αἰδήμονας. οἷον δὲ Ἡράκλεις τὸ τὰς ἁπάντων ἑξῆς κόρας
αἰσχυντηλὰς εἶναι πεπεῖσθαι, ὅπου φασὶν οὐδενὶ οὕτως ἐνσημαίνεσθαι
τὴν † τινων ἀναίδειαν ὡς ἐν τοῖς ὀφθαλμοῖς· ἰταμόν 'οἰνοβαρές, κυνὸς
5 ὄμματ' ἔχων' φησίν. ὁ μέντοι Τίμαιος, ὡς φωρίου τινὸς ἐφαπτό-
μενος, οὐδὲ τοῦτο Ξενοφῶντι τὸ ψυχρὸν κατέλιπεν. φησὶ γοῦν ἐπὶ
τοῦ Ἀγαθοκλέους καὶ τοῦ τὴν ἀνεψιὰν ἑτέρῳ δεδομένην ἐκ τῶν ανα-
καλυπτηρίων ἁρπάσαντα ἀπελθεῖν· 'ὅ τίς ἂν ἐποίησεν ἐν ὀφθαλμοῖς
κόρας, μὴ πόρνας ἔχων;' τί δὲ ὁ τἆλλα θεῖος Πλάτων; τὰς δέλτους
6 θέλων εἰπεῖν 'γράψαντες' φησίν 'ἐν τοῖς ἱεροῖς θήσουσι κυπαριττίνας
μνήμας'. καὶ πάλιν· 'περὶ δὲ τειχῶν, ὦ Μέγιλλε, ἐγὼ ξυμφεροί-
μην ἂν τῇ Σπάρτῃ τὸ καθεύδειν ἐᾶν ἐν τῇ γῇ κατακείμενα τὰ
τείχη, καὶ μὴ ἐπανίστασθαι'. καὶ τὸ ἡροδότειον οὐ πόρρω, τὸ

2 τί δὲ δεῖ Schurzfleischius: δὲ om. P | καίτοι τί δεῖ Manutius καὶ τί δεῖ Toupius | 3 γε P | 5 τοῦτο Ξενοφῶντος in marg. P | ἐκείνων γ' οὖν codd Xenoph. | 7 μεταστρέψαις codd. Xenoph. | 8 ἐν τοῖς θαλάμοις παρθένων codd. Xenoph. | 12 τινῶν P fort. κυνῶν | τῶν — ἰταμῶν Spengelius | ὡς τῷ — ἰταμῷ Toupius | 13 φησὶν Ὅμηρος G. S. A. class. journ. III. 5 p. 65 | ἰταμὸν del. Cumanudes spec. emendatt. p. 11 | ἰταμὸν — φησίν del. Kayserus n. iahrb. LXX p. 292 | φωρίου κύων ἐφαπτόμενος Faber | 15 Ἀγαθοκλέους αὐτὸν τὴν Tollius | καὶ τοῦ Reiskius: καὶ τὸ P | 18 τί δέ; Morus | 18 περὶ ΠΛΑΤΩΝΟΣ in marg. P | 20 ἔγωγ' ἂν τῇ Σπάρτῃ ξυμφεροίμην codd. Plat. | 22 ἐπανιστάναι codd. Plat. | περὶ ΗΡΟΔΟΤΟΥ in marg. P

9 XENOPHON DE RE P. LACED. 3, 5. | 14 ARETAEUS DE CAUS. MORB. I, 7 τάδε πάσχει ἄμφω τὰ εἴδεα καὶ ἡ ἐν τοῖς ὀφθαλμοῖσι παρθένος. | 16 HOMERUS IL. A, 225. schol. BL τὸ δὲ διὰ τὸ μὴ περιφρονεῖσθαι ἰταμὸν ἀναιδείαν εἶπε. | 20 PLUTARCHUS DE VIT. PUD. I p. 528 E ὅθεν ὁ μὲν ῥήτωρ τὸν ἀναίσχυντον οὐκ ἔφη κόρας ἐν τοῖς ὄμμασιν ἔχειν, ἀλλὰ πόρνας. | 20 PLATO DE LEGG. V P. 741 C. | 21 PLATO DE LEGG. VI P. 778 D. | 22 HERODOTUS V, 18. PLUTARCHUS ALEX. 21 τὰς δὲ ἄλλας αἰχμαλώτους ὁρῶν ὁ Ἀλέξανδρος κάλλει καὶ μεγέθει διαφερούσας ἔλεγε παίζων. ὡς εἰσὶν ἀλγηδόνες ὀμμάτων αἱ Περσίδες. EUSTATHIVS AD HOM. IL. Γ, 446 P. 433 πρὸς δὲ ταῦτα ἑτεροιοῦσθαι δοκεῖ παρά τινος ῥηθὲν μεγάλου σοφοῦ τὸ — τὰς κόρας ἀλγηδόνας ὀφθαλμῶν εἶναι, ὃ καὶ ὑπ' εὐθύνην πίπτει. πῶς γὰρ ἀλγυνοῦσιν ὀφθαλμοὺς αἱ γλυκὺν ἐμποιοῦσαι ἵμερον διὰ ὁράσεως.

4 φάναι τὰς καλὰς γυναῖκας ‘ἀλγηδόνας ὀφθαλμῶν’. καίτοιγε ἔχει
τινὰ παραμυθίαν· οἱ γὰρ παρ' αὐτῷ ταυτὶ λέγοντες εἰσὶν οἱ βάρ- 7
βαροι καὶ ἐν μέθῃ, ἀλλ' οὐδ' ἐκ τοιούτων προσώπων διὰ μικροψυ-
χίαν καλὸν ἀσχημονεῖν πρὸς τὸν αἰῶνα.
Ἅπαντα μέντοι τὰ οὕτως ἄσεμνα διὰ μίαν ἐμφύεται τοῖς
λόγοις αἰτίαν, διὰ τὸ περὶ τὰς νοήσεις καινόσπουδον, περὶ ὃ δὴ μά- 5
182r. λιστα κορυβαντιῶσιν οἱ νῦν. ἀφ' ὧν γὰρ ἡμῖν τἀγα|θά, σχεδὸν
ἀπ' αὐτῶν τούτων καὶ τὰ κακὰ γεννᾶσθαι φιλεῖ. ὅθεν ἐπίφορον
εἰς συνταγμάτων κατόρθωσιν τά τε κάλλη τῆς ἑρμηνείας καὶ τὰ
ὕψη καὶ πρὸς τούτοις αἱ ἡδοναί· καὶ αὐτὰ ταῦτα καθάπερ τῆς
ἐπιτυχίας, οὕτως ἀρχαὶ καὶ ὑποθέσεις καὶ τῶν ἐναντίων καθίσταν-
ται. τοιοῦτόν πως καὶ αἱ μεταβολαὶ καὶ ὑπερβολαὶ καὶ τὰ πλη-
θυντικά· δείξομεν δ' ἐν τοῖς ἔπειτα τὸν κίνδυνον, ὃν ἔχειν ἐοίκασι.
διόπερ ἀναγκαῖον ἤδη διαπορεῖν καὶ ὑποτίθεσθαι, δι' ὅτου τρόπου
τὰς ἀνακεκραμένας κακίας τοῖς ὑψηλοῖς ἐκφεύγειν δυνάμεθα. ἔστι
δέ, ὦ φίλος, εἴ τινα περιποιησαίμεθ' ἐν πρώτοις καθαρὰν τοῦ κατ'
ἀλήθειαν ὕψους ἐπιστήμην καὶ ἐπίκρισιν. καίτοι τὸ πρᾶγμα δύσλη- 6
πτον· ἡ γὰρ τῶν λόγων κρίσις πολλῆς ἐστι πείρας τελευταῖον ἐπι-
γέννημα· οὐ μὴν ἀλλ', ὡς εἰπεῖν ἐν παραγγέλματι, ἐντεῦθέν ποθεν
ἴσως τὴν διάγνωσιν αὐτῶν οὐκ ἀδύνατον πορίζεσθαι.
Εἰδέναι χρή, φίλτατε, διότι, καθάπερ κἀν τῷ κοινῷ βίῳ οὐδὲν 7
ὑπάρχει μέγα, οὗ τὸ καταφρονεῖν ἐστι μέγα, οἷον πλοῦτοι τιμαὶ
δόξαι τυραννίδες καὶ ὅσα δὴ ἄλλα ἔχει πολὺ τὸ ἔξωθεν προστρα-
γῳδούμενον, οὐδ' ἂν τῷ γε φρονίμῳ δόξαιεν ἀγαθὰ ὑπερβάλλοντα,
ὧν αὐτὸ τὸ περιφρονεῖν ἀγαθὸν οὐ μέτριον — θαυμάζουσι γοῦν τῶν
ἐχόντων αὐτὰ μᾶλλον τοὺς δυναμένους ἔχειν καὶ διὰ μεγαλοψυ-
χίαν ὑπερορῶντας —, τῇδέ που καὶ ἐπὶ τῶν διηρμένων ἐν ποιήμασι καὶ
λόγοις ἐπισκεπτέον, μή τινα μεγέθους φαντασίαν ἔχοι τοιαύτην, ᾗ
182v. πο|λὺ πρόσκειται τὸ εἰκῇ προσαναπλαττόμενον, ἀναπτυττόμενα δὲ
ἄλλως εὑρίσκοιτο χαῦνα, ὧν τοῦ θαυμάζειν τὸ περιφρονεῖν εὐγενέ-
στερον. φύσει γάρ πως ὑπὸ τἀληθοῦς ὕψους ἐπαίρεταί τε ἡμῶν ἡ 2

3 προφάσεων Faber | 4 αἰῶνα ἅπαντα. Ταῦτα μέντοι Stephanus | 6 κενόσπουδον Vaucherus | 8 φι*λεῖ P | τὸ γοῦν ἐπίφορον Faber οἷον ἐπίφορον Weiskius | φιλεῖ. ἐπίφορα μὲν οὖν εἰς Tollius | 9 κάλλει corr. κάλλη P | 10 καὶ τὰ τοιαῦτα Faber | 11 ὑποθέσεις τῶν Faber | 16 ὦ φιλότης Faber | 17 καίτοι — δύσληπτον del. Vaucherus | 24 οὐδ' Reiskius: οὐκ P | δόξειέν P | 28 ἔχει Kayserus n. iahrb. LXX p. 294 | ἔχοι γε Nolteius ztschr. f. alterth. wiss. 1854 p. 303. | τοαύτη P τοιαύτην p | 30 ὅλως Schurzfleischius μᾶλλον Morus | ὧν — εὐγενέστερον del. Vaucherus

ψυχὴ καὶ γαῦρόν τι ἀνάστημα λαμβάνουσα πληροῦται χαρᾶς καὶ 7
3 μεγαλαυχίας, ὡς αὐτὴ γεννήσασα ὅπερ ἤκουσεν. ὅταν οὖν ὑπ'
ἀνδρὸς ἔμφρονος καὶ ἐμπείρου λόγων πολλάκις ἀκουόμενόν τι πρὸς
μεγαλοφροσύνην τὴν ψυχὴν μὴ συνδιατιθῇ μηδ' ἐγκαταλείπῃ τῇ
διανοίᾳ πλεῖον τοῦ λεγομένου τὸ ἀναθεωρούμενον, πίπτῃ δ', ἂν εὖ
τὸ συνεχὲς ἐπισκοπῇς, εἰς ἀπαύξησιν, οὐκ ἂν ἔτ' ἀληθὲς ὕψος εἴη
μέχρι μόνης τῆς ἀκοῆς σωζόμενον. τοῦτο γὰρ τῷ ὄντι μέγα, οὗ
πολλὴ μὲν ἡ ἀναθεώρησις, δύσκολος δέ, μᾶλλον δ' ἀδύνατος ἡ
4 κατεξανάστασις, ἰσχυρὰ δὲ ἡ μνήμη καὶ δυσεξάλειπτος. ὅλως δὲ
καλὰ νόμιζε ὕψη καὶ ἀληθινὰ τὰ διὰ παντὸς ἀρέσκοντα καὶ πᾶ-
σιν. ὅταν γὰρ τοῖς ἀπὸ διαφόρων ἐπιτηδευμάτων βίων ζήλων ἡλι-
κιῶν λόγων ἕν τι καὶ ταὐτὸν ἅμα περὶ τῶν αὐτῶν ἅπασι δοκῇ,
τόθ' ἡ ἐξ ἀσυμφώνων ὡς κρίσις καὶ συγκατάθεσις τὴν ἐπὶ τῷ θαυ-
μαζομένῳ πίστιν ἰσχυρὰν λαμβάνει καὶ ἀναμφίλεκτον.

Ἐπεὶ δὲ πέντε, ὡς ἂν εἴποι τις, πηγαί τινές εἰσιν αἱ τῆς ὑψη-
8 γορίας γονιμώταται — προϋποκειμένης ὥσπερ ἐδάφους τινὸς κοινοῦ ταῖς
πέντε ταύταις ἰδέαις τῆς ἐν τῷ λέγειν δυνάμεως, ἧς ὅλως χωρὶς οὐ-
δέν —, πρῶτον μὲν καὶ κράτιστον τὸ περὶ τὰς νοήσεις ἁδρεπήβολον, ὡς
κἀν τοῖς περὶ Ξενοφῶντος ὡρισάμεθα, δεύτερον δὲ τὸ σφοδρὸν καὶ
ἐνθουσιαστικὸν πάθος· ἀλλ' αἱ μὲν δύο αὗται τοῦ ὕψους κατὰ τὸ
πλέον αὐθιγενεῖς συστάσεις, αἱ λοιπαὶ δ' ἤδη καὶ διὰ τέχνης, ἥ τε
ποιὰ τῶν σχημάτων πλάσις — δισσὰ δέ που ταῦτα, τὰ μὲν νοήσεως,
θάτερα δὲ λέξεως —, ἐπὶ δὲ τούτοις ἡ γενναία φράσις — ἧς μέρη πάλιν
ὀνομάτων τε ἐκλογὴ καὶ ἡ τροπικὴ καὶ πεποιημένη λέξις —, πέμπτη
δὲ μεγέθους αἰτία καὶ συγκλείουσα τὰ πρὸ αὐτῆς ἅπαντα, ἡ ἐν

1 ἀνάστημα ς: ἀνάθημα P | 4 ἐγκαταλίπηι corr. ἐγκαταλείπηι P | 5 ἂν εὖ Reiskius Weiskius f.: ἂν** P ἄνευ p ἂν τὸ ς | ἂν αὐτὸ (Pearcius) συνεχῶς Wakefieldus silv. crit. IV p. 175 | 6 ἐπισκοπῇ Toupius ἀνασκοπῇς Faber | ἂν —, ἐπισκοπῇς del. Vaucherus | 11 ἡλικιῶν τρόπων ἕν Morus | 13 ἀσυμφρόνων Tollius | κρᾶσις Pearcius | 14 καὶ del. Spengelius | 16 προ*υποκειμέν*ς corr. προυποκειμένης P | 17 ἧς ὄφελος Toupius | 18 ἁδρὸν καὶ ἐπήβολον Stephanus ἁδρὰς ἐπήβολον Ruhnkenius | ὡς — p. 22, 13 ἰδέσθαι om. P infra in marg. adscriptum a manu rec. λείπει *desunt octo folia seu quaternio* KE | 19 ὡρισάμεθον d | 22 δισσὰ — λέξεως del. Spengelius | 25 αὐτῆς Spengelius: ἑαυτῆς ς | πρὸ ἑαυτῆς c πρὸς αὐτῆς d.

2 QUINTILIANUS VIII, 2, 21 sed auditoribus etiam nonnullis grata sunt haec, quae cum intellexerint, acumine suo delectantur et gaudent, non quasi audiverint, sed quasi invenerint. | 22 LONGINUS RHET. P. 143 B. I p. 310 SP. ὅσα δὲ σχήματα τῶν ἐννοιῶν ὠνόμασται, οἷον προδιόρθωσις ἐπιδιόρθωσις ἀποσιώπησις παράλειψις εἰρωνεία ἠθοποιία, ἅπαντα ταῦτα οὔ μοι δοκεῖ δικαίως σχήματα καλεῖσθαι, ἀλλ' ἔννοιαι ἐνθυμήματα καὶ λογισμοὶ τοῦ πιθανοῦ χάριν καὶ πίστεων εἴδη.

8 ἀξιώματι καὶ διάρσει σύνθεσις· φέρε δὴ τὰ ἐμπεριεχόμενα καθ'
ἑκάστην ἰδέαν τούτων ἐπισκεψώμεθα, τοσοῦτον προειπόντες, ὅτι τῶν
πέντε μορίων ὁ Κεκίλιος ἔστιν ἃ παρέλιπεν, ὡς καὶ τὸ πάθος
ἀμέλει. ἀλλ' εἰ μὲν ὡς ἕν τι ταῦτ' ἄμφω, τό τε ὕψος καὶ τὸ 2
παθητικόν, καὶ ἔδοξεν αὐτῷ πάντῃ συνυπάρχειν τε ἀλλήλοις καὶ
συμπεφυκέναι, διαμαρτάνει. καὶ γὰρ πάθη τινὰ διεστῶτα ὕψους
καὶ ταπεινὰ εὑρίσκεται, καθάπερ οἶκτοι λῦπαι φόβοι, καὶ ἔμπαλιν
πολλὰ ὕψη δίχα πάθους, ὡς πρὸς μυρίοις ἄλλοις καὶ τὰ περὶ
τοὺς Ἀλωάδας τῷ ποιητῇ παρατετολμημένα

Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν· αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἄμβατος εἴη·

καὶ τὸ τούτοις ἔτι μεῖζον ἐπιφερόμενον 8

καί νύ κεν ἐξετέλεσσαν.

παρά γε μὴν τοῖς ῥήτορσι τὰ ἐγκώμια καὶ τὰ πομπικὰ καὶ 3
ἐπιδεικτικὰ τὸν μὲν ὄγκον καὶ τὸ ὑψηλὸν ἐξ ἅπαντος περιέχει, πά-
θους δὲ χηρεύει κατὰ τὸ πλεῖστον, ὅθεν ἥκιστα τῶν ῥητόρων οἱ πε-
ριπαθεῖς ἐγκωμιαστικοὶ ἢ ἔμπαλιν οἱ ἐπαινετικοὶ περιπαθεῖς. εἰ δ' 4
αὖ πάλιν ἐξ ὅλου μὴ ἐνόμισεν ὁ Κεκίλιος τὸ ἐμπαθὲς τὰ ὕψη
ποτὲ συντελεῖν καὶ διὰ τοῦτ' οὐχ ἡγήσατο μνήμης ἄξιον, πάνυ διη-
πάτηται· θαρρῶν γὰρ ἀφορισαίμην ἄν, ὡς οὐδὲν οὕτως ὡς τὸ γεν-
ναῖον πάθος, ἔνθα χρή, μεγαλήγορόν ἐστι, ὥσπερ ὑπὸ μανίας τινὸς
καὶ πνεύματος ἐνθουσιαστικοῦ ἐκπνέον καὶ οἱονεὶ φοιβάζον τοὺς
λόγους.

Οὐ μὴν ἀλλ' ἐπεὶ τὴν κρατίστην μοῖραν ἐπέχει τῶν ἄλλων 9
τὸ πρῶτον, λέγω δὲ τὸ μεγαλοφυές, χρὴ κἀνταῦθα, καὶ εἰ δωρη-
τὸν τὸ πρᾶγμα μᾶλλον ἢ κτητόν, ὅμως καθ' ὅσον οἷόν τε τὰς ψυ-
χὰς ἀνατρέφειν πρὸς τὰ μεγέθη καὶ ὥσπερ ἐγκύμονας ἀεὶ ποιεῖν
γενναίου παραστήματος. τίνα, φήσεις, τρόπον; γέγραφά που καὶ 2

1 καθ' ἕκαστον corr. ἑκάστην d | 3 καὶ in marg. d | num τοῦ πάθους ἀμελεῖ? | πάθος. ἀλλ' εἰ μὲν ἀμέλει ὡς sive ὡς ἀμέλει Spengelius | 4 ἐν τῇ ταυτε ἄμφω d | ταὐτὸ Dobreeus adv. I p. 565 | ἄμφω ἐνόμιζε καὶ Tollius ἄμφω ἐποίησε Pearcius ἄμφω ἐνομίσθη καὶ Toupius | 5 παθητικὸν ἔδοξε Pearcius παθητικὸν ὄντα, καὶ Reiskius | ἔνδοξεν d | σὴν ὑπάρχειν d | 9 υἱωάδας d 10 μέμασιν c | 11 εἰνοσίφυλον d | ἀμματὸς c | 12 ἔστι c | 15 παρέχει Reiskius | 16 πάθους καὶ χηρεύει Toupius | χηρέσει corr. 2 m. c | 17 ἐκωμιαστικοὶ c | 18 ἐξ ὅλου del. Vaucherus | μηδὲν Nolteius ztschr. f. alterth. wiss. 1854 p. 303 | ἐνόμησεν d | ὁ om. c | ἐς ὕψη Faber | 21 ἔνθα χρή del. Vaucherus | ἐστι om. cd | 21 ὑπὸ — πνεύματος del. Vaucherus | ἐν θουσιαστικοῦ Faber: ἐνθουσιαστικῶς ς | 22 ἐκπνέων d | ἐμπνέον vel ἐπιπνέον Morus | 28 φήσεις cd: φήσει τις ς δεήσει in marg. Robortellus

9 HOMERUS OD. λ, 314

ἑτέρωθι τὸ τοιοῦτον ὕψος μεγαλοφροσύνης ἀπήχημα. ὅθεν καὶ 9
φωνῆς δίχα θαυμάζεταί ποτε ψιλὴ καθ' ἑαυτὴν ἡ ἔννοια δι' αὐτὸ
τὸ μεγαλόφρον, ὡς ἡ τοῦ Αἴαντος ἐν νεκυίᾳ σιωπὴ μέγα καὶ παν-
3 τὸς ὑψηλότερον λόγου. πρῶτον οὖν τὸ ἐξ οὗ γίνεται προϋποτίθεσθαι
πάντως ἀναγκαῖον, ὡς ἔχειν δεῖ τὸν ἀληθῆ ῥήτορα μὴ ταπεινὸν
φρόνημα καὶ ἀγεννές. οὐδὲ γὰρ οἷόν τε μικρὰ καὶ δουλοπρεπῆ φρο-
νοῦντας καὶ ἐπιτηδεύοντας παρ' ὅλον τὸν βίον θαυμαστόν τι καὶ
τοῦ παντὸς αἰῶνος ἐξενεγκεῖν ἄξιον· μεγάλοι δὲ οἱ λόγοι τούτων,
4 κατὰ τὸ εἰκός, ὧν ἂν ἐμβριθεῖς ὦσιν αἱ ἔννοιαι. ταύτῃ καὶ εἰς τοὺς
μάλιστα φρονηματίας ἐμπίπτει τὰ ὑπερφυᾶ· ὁ γὰρ τῷ Παρμενίωνι
φήσαντι 'ἐγὼ μὲν ἠρκέσθην * *

* * τὸ ἐπ' οὐρανὸν ἀπὸ γῆς διάστημα· καὶ τοῦτ' ἂν εἴποι
τις οὐ μᾶλλον τῆς Ἔριδος ἢ Ὁμήρου μέτρον. ὧ ἀνόμοιόν γε τὸ
5 ἡσιόδειον ἐπὶ τῆς Ἀχλύος, εἴγε Ἡσιόδου καὶ τὴν ἀσπίδα θετέον,

τῆς ἐκ μὲν ῥινῶν μύξαι ῥέον·

1 ὅτι τὸ τοιοῦτον Toupius | 2 ἔνοια d | 5 δεῖ om. c | 9 εἰκῶς d | ἐμβριθεὶς d | 11 ἂν ἠρκέσθην ς ἀνηρκέ d σθην add. 2 m. | ἠρκέσθην τούτοις Toupius | post ἠρκέσθην in P desunt sex folia | λείπουσιν ὀκτὼ ἢ δέκα φύλλα c in marg. | 14 εἴποι Tollius: εἰπεῖν ςd εἶπεν c | 16 εἰσιόδειον d | ἦγε d | 17 τῆς δ' ἐκ Manutius

3 HOMERUS OD. λ, 543

οἴη δ' Αἴαντος ψυχὴ Τελαμωνιάδαο
νόσφιν ἀφεστήκει κεχολωμένη εἵνεκα νίκης,
τήν μιν ἐγὼ νίκησα δικαζόμενος παρὰ νηυσίν.
. . . . . . . . .
552 τὸν μὲν ἐγὼν ἐπέεσσι προσηύδων μειλιχίοισιν
. . . . . . . . .
563 ὣς ἐφάμην, ὁ δέ μ' οὐδὲν ἀμείβετο, βῆ δὲ μετ' ἄλλας
ψυχὰς εἰς ἔρεβος νεκύων κατατεθνηώτων.

SCHOL. δῆλον οὖν ὅτι καὶ τῶν παρὰ τραγῳδοῖς λόγων βέλτιον αὐτοῦ ἡ σιωπή. | 6 DEMOSTHENES OLYNTH. 3, 22 (DE SYNT. 25) ἔστι δ' οὐδέποτ' οἶμαι μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν μικρὰ καὶ φαῦλα πράττοντας· ὁποῖ' ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημα ἔχειν. | 11 ARRIANUS II, 25, 2 Παρμενίωνα μὲν λέγουσιν Ἀλεξάνδρῳ εἰπεῖν, ὅτι αὐτὸς ἂν Ἀλέξανδρος ὢν ἐπὶ τούτοις ἠγάπησε καταλύσας τὸν πόλεμον μηκέτι πρόσω κινδυνεύειν. Ἀλέξανδρου δὲ Παρμενίωνι ἀποκρίνασθαι, ὅτι καὶ αὐτὸς ἄν, εἴπερ Παρμενίων ἦν, οὕτως ἔπραξεν. | 12 HOMERUS IL. Δ, 442

ἥ τ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει.

15 HESIODUS SCUT. 267 | ARGUMENTUM SCUTI ὑπώπτευκε δὲ Ἀρι-

9 οὐ γὰρ δεινὸν ἐποίησε τὸ εἴδωλον, ἀλλὰ μισητόν. ὁ δὲ πῶς μεγεθύνει τὰ δαιμόνια;

ὅσσον δ' ἠεροειδὲς ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν,
ἥμενος ἐν σκοπιῇ, λεύσσων ἐπὶ οἴνοπα πόντον·
τόσσον ἐπιθρώσκουσι θεῶν ὑψηχέες ἵπποι.

τὴν ὁρμὴν αὐτῶν κοσμικῷ διαστήματι καταμετρεῖ. τίς οὖν οὐκ ἂν εἰκότως διὰ τὴν ὑπερβολὴν τοῦ μεγέθους ἐπιφθέγξαιτο, ὅτι ἂν δὶς ἑξῆς ἐφορμήσωσιν οἱ τῶν θεῶν ἵπποι, οὐκέθ' εὑρήσουσιν ἐν κόσμῳ τόπον; ὑπερφυᾶ καὶ τὰ ἐπὶ τῆς θεομαχίας φαντάσματα 6

ἀμφὶ δ' ἐσάλπιγξεν μέγας οὐρανὸς οὔλυμπός τε.

* * *

ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύς,
δείσας δ' ἐκ θρόνου ἆλτο καὶ ἴαχε, μή οἱ ἔπειτα
γαῖαν ἀναρρήξειε Ποσειδάων ἐνοσίχθων,
οἰκία δέ θνητοῖσι καὶ ἀθανάτοισι φανείη,
σμερδαλέ', εὐρώεντα, τά τε στυγέουσι θεοί περ.

ἐπιβλέπεις, ἑταῖρε, ὡς ἀναρρηγνυμένης μὲν ἐκ βάθρων γῆς αὐτοῦ τε

1 ἐποιήσθη d | ὁ δὲ ὑπερμεγεθύνει Manutius | 3 ὅσον cd | 4 λεύσων d | 5 ἐπιθρώσκουσιν cd | ὑψεπηχέες c corr. 2 m. ὑψαυχένες Manutius | ἵπποι — αὐτῶν om. d in marg. add. 2 m | 6 τίς οὖν — τόπον del. Nolteius ztschr. f. alterth. wiss. 1854 p. 303. | 8 ἐβρήσκουσιν d εὑρίσκουσιν c | 9 καὶ τά Manutius: καὶ om. bc τὰ om. ς | 10 σάλπιγξεν d | οὔλημπος d | huc transferendus versus p. 21, 15 | 12 καί· ἔδδεισεν Portus | 13 δ' ἐκ — ἀναρρήξειε om. d in marg. 2 m. add. | ἴσχε bc | οἱ ὕπερθεν Homeri codd. | 17 τε scripsi: δὲ ς

στοφάνης — ὡς οὐκ οὖσαν αὐτὴν Ἡσιόδου —, Μεγακλῆς ⟨l. Μεγακλείδης⟩ δὲ ὁ Ἀθηναῖος γνήσιον μὲν οἶδε τὸ ποίημα, ἄλλως δὲ ἐπιτιμᾷ τῷ Ἡσιόδῳ. — Ἀπολλώνιος δὲ ὁ Ῥόδιος ἐν τῷ γ' φησὶν αὐτοῦ εἶναι· — ὡσαύτως δὲ καὶ Στησίχορός φησιν Ἡσιόδου εἶναι τὸ ποίημα. **CRAMERI ANECD. OXON. IV** p. 315 πολλὰ γὰρ νοθευόμενά ἐστιν, ὡς — Ἡσιόδου ἀσπίς. **BEKKERI ANECD.** p. 672 τοῦτο δὲ διὰ τὰ ψευδεπίγραφα τῶν βιβλίων, ὡς ἔχει ἡ ἀσπὶς Ἡσιόδου. p. 1165 εἰσὶ γὰρ — ὁμώνυμα βιβλία ψευδῆ, οἷον ἡ ἀσπὶς Ἡσιόδου. **THEODOS. GRAMM.** p. 54 εἰσὶ γὰρ πολλὰ ψευδεπίγραφα τῶν βιβλίων, ὡς ἡ ἀσπὶς Ἡσιόδου. | **1 HOMERUS IL. E, 770** | **10 HOMERUS IL. Φ, 388**

ἀμφὶ δ' ἐσάλπιγξεν μέγας οὐρανός· ἄιε δὲ Ζεύς

**DEMETRIUS DE ELOC.** 83 δεῖ μέντοι μὴ λανθάνειν, ὅτι ἔνιαι μεταφοραὶ σμικροπρέπειαν ποιοῦσι μᾶλλον ἢ μέγεθος, καίτοι τῆς μεταφορᾶς πρὸς ὄγκον λαμβανομένης, ὡς τό

ἀμφὶ δ' ἐσάλπιγξεν μέγας οὐρανός.

οὐρανὸν γὰρ ὅλον ἠχοῦντα οὐκ ἐχρῆν προσεικάσαι ἠχούσῃ σάλπιγγι, πλὴν εἰ μή τις ἄρα ἀπολόγοιτο ὑπὲρ τοῦ Ὁμήρου λέγων· ὡσαύτως ἤχησε μέγας οὐρανὸς, ὡς ἂν ἠχήσειε σαλπίζων ὅλος οὐρανός. | **12 HOMERUS IL. Υ, 61**

γυμνουμένου ταρτάρου, ἀνατροπὴν δὲ δι' ὅλου καὶ διάστασιν τοῦ 9
κόσμου λαμβάνοντος, πάνθ' ἅμα οὐρανὸς ᾅδης, τὰ θνητὰ τὰ ἀθά-
7 νατα [ἅμα] τῇ τότε συμπολεμεῖ καὶ συγκινδυνεύει μάχῃ; ἀλλὰ
ταῦτα φοβερὰ μέν, πλὴν [ἄλλως] εἰ μὴ κατ' ἀλληγορίαν λαμβάνοιτο, παντάπασιν ἄθεα καὶ οὐ σώζοντα τὸ πρέπον. Ὅμηρος γάρ μοι δοκεῖ παραδιδοὺς τραύματα θεῶν, στάσεις τιμωρίας δάκρυα δεσμὰ πάθη πάμφυρτα τοὺς μὲν ἐπὶ τῶν ἰλιακῶν ἀνθρώπους ὅσον ἐπὶ τῇ δυνάμει θεοὺς πεποιηκέναι, τοὺς θεοὺς δὲ ἀνθρώπους. ἀλλ' ἡμῖν μὲν δυσδαιμονοῦσιν ἀπόκειται λιμὴν κακῶν ὁ θάνατος· τῶν θεῶν δ' οὐ τὴν φύσιν, ἀλλὰ τὴν ἀτυχίαν ἐποίησεν αἰώνιον.
8 πολὺ δὲ τῶν περὶ τὴν θεομαχίαν ἀμείνω ὅσα ἄχραντόν τι καὶ
μέγα τὸ δαιμόνιον ὡς ἀληθῶς καὶ ἄκρατον παρίστησιν, οἷα — πολλοῖς δὲ πρὸ ἡμῶν ὁ τόπος ἐξείργασται — τὰ ἐπὶ τοῦ Ποσειδῶνος

τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη
[καὶ κορυφαὶ Τρώων τε πόλις καὶ νῆες Ἀχαιῶν]
ποσσὶν ὑπ' ἀθανάτοισι Ποσειδάωνος ἰόντος.

. . . . . . . . . . .

1 δὲ δι' ὅλου Ruhnkenius: δὲ ὅλου c d | 2 πάνθ αὔμα d | 3 ἅμα del. Ruhnkenius | συγκιδυνεύει c συγκιδενέβει d | μάχε d | 4 ἄλλως — λαμβάνοιτο del. Weiskius | πλὴν ἀλλ' εἰ Manutius | 6 στάσειν d | 10 καὶ τὴν G. S. A. class. journ. III, 5 p 65 | 11 ὅσα Vaucherus: τὰ ὅσα ς | 12 ἀκήρατον Portus | πόλοις d | 13 τοπῶς d | ποδῶνος d σει in marg. add. 2 m. | 15 locum suum habet p. 20, 11

4 **PLUTARCHUS DE AUD. POET.** 4 p. 19 E οὓς ταῖς πάλαι μὲν ὑπονοίαις, ἀλληγορίαις δὲ νῦν λεγομέναις παραβιαζόμενοι καὶ διαστρέφοντες ἔνιοι μοιχευομένην φασὶν Ἀφροδίτην ὑπὸ Ἄρεως μηνύειν τὸν ἥλιον ὅτι τῷ τῆς Ἀφροδίτης ἀστέρι συνελθὼν ὁ τοῦ Ἄρεως μοιχικὰς ἀποτελεῖ γενέσεις. **SCHOL. B HOMERI (PORPHYRIUS)** τοῦ ἀσυμφόρου μὲν ὁ περὶ θεῶν ἔχεται καθόλου λόγος, ὁμοίως δὲ καὶ τοῦ ἀπρεποῦς· οὐ γὰρ πρέποντας τοὺς ὑπὲρ τῶν θεῶν μύθους φησίν. πρὸς δὲ τὴν τοιαύτην ἐπίλυσιν οἱ μὲν ἀπὸ τῆς λέξεως κατηγοροῦντες ἀλληγορίᾳ πάντα εἰρῆσθαι νομίζουσι ὑπὲρ τῆς τῶν στοιχείων φύσεως. — οὗτος μὲν οὖν τρόπος ἀπολογίας ἀρχαῖος ὢν πάνυ καὶ ἀπὸ Θεαγένους τοῦ Ῥηγίνου, ὃς πρῶτος ἔγραψε περὶ Ὁμήρου, τοιοῦτός ἐστιν ἀπὸ τῆς λέξεως. ἔνιοι δὲ ἀπὸ ἔθους ἀπολογοῦνται, — οἱ δ' ἀπὸ τοῦ καιροῦ τοῦτο ⟨l. τοῦ τότε⟩ κατὰ τὴν Ἑλλάδα παραμυθοῦνται. | 9 **PLUTARCHUS CONS. AD APOLL.** 10 p. 106 c τοῦτον ⟨Αἰσχύλον⟩ γὰρ ἀπεμιμήσατο καὶ ὁ εἰπών

ὦ Θάνατε παιὰν ἰατρὸς μόλοις,
λιμὴν γὰρ ὄντως αἴδας ἀν' αἶαν ⟨ἀνιᾶν **Ruhnkenius**⟩

**SOTADES (STOB. FLOR. CXX, 11)**

πάντων ὁ λιμὴν τῶν μερόπων ὁ θάνατός ἐστιν.

**14 HOMERUS IL. N, 18 | 15 IL. Υ, 60. | 16 IL. N, 19**

9 βῆ δ' ἐλάαν ἐπὶ κύματ', ἄταλλε δὲ κήτε' ὑπ' αὐτοῦ
πάντοθεν ἐκ κευθμῶν, οὐδ' ἠγνοίησεν ἄνακτα·
γηθοσύνῃ δὲ θάλασσα διΐστατο, τοὶ δὲ πέτοντο.

ταύτῃ καὶ ὁ τῶν Ἰουδαίων θεσμοθέτης, οὐχ ὁ τυχὼν ἀνήρ, 9
ἐπειδὴ τὴν τοῦ θείου δύναμιν κατὰ τὴν ἀξίαν ἐχώρησε κἀξέφηνεν,
εὐθὺς ἐν τῇ εἰσβολῇ γράψας τῶν νόμων 'εἶπεν ὁ θεός' φησί· τί;
'γενέσθω φῶς, καὶ ἐγένετο· γενέσθω γῆ, καὶ ἐγένετο'. οὐκ ὀχλη- 10
ρὸς ἂν ἴσως, ἑταῖρε, δόξαιμι, ἓν ἔτι τοῦ ποιητοῦ καὶ τῶν ἀνθρωπίνων
παραθέμενος τοῦ μαθεῖν χάριν, ὡς εἰς τὰ ἡρωϊκὰ μεγέθη συνεμβαί-
νειν ἐθίζει. ἀχλὺς ἄφνω καὶ νὺξ ἄπορος αὐτῷ τὴν τῶν Ἑλλήνων
ἐπέχει μάχην· ἔνθα δὴ ὁ Αἴας ἀμηχανῶν 'Ζεῦ πάτερ', φησίν

'ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας Ἀχαιῶν,
ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι·
183 r. Κϛ ἐν δὲ φάει καὶ ὄλεσσον'.

ἔστιν ὡς ἀληθῶς τὸ πάθος Αἴαντος, οὐ γὰρ ζῆν εὔχεται — ἦν
γὰρ τὸ αἴτημα τοῦ ἥρωος ταπεινότερον —, ἀλλ' ἐπειδὴ ἐν ἀπράκτῳ
σκότει τὴν ἀνδρίαν εἰς οὐδὲν γενναῖον εἶχε διαθέσθαι, διὰ ταῦτ' ἀγα-
νακτῶν [ὅτι πρὸς τὴν μάχην ἀργεῖ] φῶς ὅτι τάχιστα αἰτεῖται, ὡς
πάντως τῆς ἀρετῆς εὑρήσων ἐντάφιον ἄξιον, κἂν αὐτῷ Ζεὺς ἀντι-
τάττηται. ἀλλὰ γὰρ Ὅμηρος μὲν ἐνθάδε οὔριος συνεμπνεῖ τοῖς
ἀγῶσιν καὶ οὐκ ἄλλο τι αὐτὸς πέπονθεν ἢ 11

μαίνεται, ὡς ὅτ' Ἄρης ἐγχέσπαλος ἢ ὀλοὸν πῦρ
οὔρεσι μαίνηται, βαθέης ἐνὶ τάρφεσιν ὕλης,
ἀφλοισμὸς δὲ περὶ στόμα γίγνεται'·

δείκνυσι δ' ὅμως διὰ τῆς Ὀδυσσείας — καὶ γὰρ ταῦτα πολλῶν
ἕνεκα προσεπιθεωρητέον — ὅτι μεγάλης φύσεως ὑποφερομένης ἤδη
ἴδιόν ἐστιν ἐν γήρᾳ τὸ φιλόμυθον. δῆλος γὰρ ἐκ πολλῶν τε ἀλ- 12

1 καὶ βῆ Tollius | κύματος ἄταλλυδε d | αὐτῷ Toupius | 2 κεθμῶν d | 3 δίστατο d | 4 ταύτῃ — ἐγένετο del. Spengelius spec. emend. in Tacit. p. 7 sq. Vaucherus | θεσμοδότης Robortellus | 5 ἐγνώρισε Manutius ἐχώρησε ἐγνώρισε Toupius ἐχώρισε Barkerus class. journ. V, 9 p. 40 | κἀξέφυνεν d | 6 εὐθὲ d corr. ις 2 m. | 8 κατὰ τῶν Tollius | 10 ἄπειρος Manutius | ἑλῆνων d | 11 ἐπέχειν d | 14 ὄλεσον P σ add. p | 17 ἀνδρ**ιαν P | διὰ — ἀργεῖ del. Vaucherus | 18 ὅτι — ἀργεῖ del. Ruhnkenius | 22 μαίνετο δ' Homeri codd. | 23 ἐν P ἢ Faber | 24 ἀφλυσμὸς P | γίγνετο Homeri codd. | 27 γερ** P | δῆλα ς

1 HOMERUS IL. N, 27 | 6 GENES. I, 3 καὶ εἶπεν ὁ θεός 'γενηθήτω φῶς'. — 9 καὶ εἶπεν ὁ θεὸς 'συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν καὶ ὀφθήτω ἡ ξηρά'. καὶ ἐγένετο οὕτως. 'Longinus fortasse non tam septuaginta seniores legit, quam hoc exemplum a Caecilio rhetore, qui τὴν δόξαν Ἰουδαῖος vocatur a Suida, mutuatus est'. Schurzfleischius. | 12 HOMERUS IL. P, 645 | 22 IL. O, 605

λων συντεθεικὼς ταύτην δευτέραν τὴν ὑπόθεσιν, ἀτὰρ δὴ κἀκ τοῦ 9
λείψανα τῶν ἰλιακῶν παθημάτων διὰ τῆς Ὀδυσσείας ὡς ἐπεισόδιά
τινα τοῦ τρωϊκοῦ πολέμου προσεπεισφέρειν, καὶ νὴ Δί' ἐκ τοῦ τὰς
ὀλοφύρσεις καὶ τοὺς οἴκτους, ὡς πάλαι που προεγνωσμένους τοῖς
ἥρωσιν, ἐνταῦθα προσαποδιδόναι. οὐ γὰρ ἄλλ' ἢ τῆς Ἰλιάδος ἐπίλο-
γός ἐστιν ἡ Ὀδύσσεια·

ἔνθα μὲν Αἴας κεῖται ἀρήϊος, ἔνθα δ' Ἀχιλλεύς,
ἔνθα δὲ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος·
ἔνθα δ' ἐμὸς φίλος υἱός.

ἀπὸ δὲ τῆς αὐτῆς αἰτίας, οἶμαι, τῆς μὲν Ἰλιάδος γραφομένης
13 ἐν ἀκμῇ [πνεύματος] ὅλον τὸ σωμάτιον δραματικὸν ὑπεστήσατο| καὶ 183v.
ἐναγώνιον, τῆς δὲ Ὀδυσσείας τὸ πλέον διηγηματικόν, ὅπερ ἴδιον γή-
ρως. ὅθεν ἐν τῇ Ὀδυσσείᾳ παρεικάσαι τις ἂν καταδυομένῳ τὸν
Ὅμηρον ἡλίῳ, οὗ δίχα τῆς σφοδρότητος παραμένει τὸ μέγεθος. οὐ
γὰρ ἔτι τοῖς ἰλιακοῖς ἐκείνοις ποιήμασιν ἴσον ἐνταῦθα σώζει τὸν
τόνον, οὐδ' ἐξωμαλισμένα τὰ ὕψη καὶ ἰζήματα μηδαμοῦ λαμ-
βάνοντα, οὐδὲ τὴν πρόχυσιν ὁμοίαν τῶν ἐπαλλήλων παθῶν,
οὐδὲ τὸ ἀγχίστροφον καὶ πολιτικὸν καὶ ταῖς ἐκ τῆς ἀληθείας
φαντασίαις καταπεπυκνωμένον· ἀλλ' οἷον ὑποχωροῦντος εἰς ἑαυτὸν
ὠκεανοῦ καὶ περὶ τὰ ἴδια † μέτρα ἐρημουμένου τὸ λοιπὸν φαίνον-
ται τοῦ μεγέθους ἀμπώτιδες κἀν τοῖς μυθώδεσι καὶ ἀπίστοις πλά-
14 νοις. λέγων δὲ ταῦτ' οὐκ ἐπιλέλησμαι τῶν ἐν τῇ Ὀδυσσείᾳ
χειμώνων καὶ τῶν περὶ τὸν Κύκλωπα καί τινων ἄλλων, ἀλλὰ

4 προεγνωσμένοις Reiskius G. S. A. class. journ. III, 5 p. 66 | 5 οὐ γὰρ — Ὀδύσσεια post υἱός ponenda | ἄλλο τι ἢ Nolteius ztschr. f. alterth. wiss. 1854 p. 303 | 16 ἐξωμαλι***να P ἐξωμαλισμένα P | 20 τέρματα Manutius | περὶ τ' ἀΐδνα τέλματα v. d. apud Ruhnkenium | τέρματα ἡμερουμένου Pricaeus Ruhnkenius μέτρα ἠπειρουμένου Toupius | ῥηγνυμένου Nolteius ztschr. f. alterth. wiss. 1854 p. 303 | 21 ἀμπώτιδες, οὕτω παρ' Ὁμήρῳ, ὁ ἐν τοῖς Faber | ἀμπώτιδες, οὕτω καὶ Ὁμήρου φαίνεται τὸ μέγεθος κἀν ταῖς Toupius | πλάνοις Pearcius: πλάνος P | Ὀδυσσέως, πλάναις Toupius | φαίνονται τεκμήρια τοῦ μεγέθους ἀμπώτιδες, οὕτω κἀν — πλάνοις φαίνεται οὐκ ἄδηλα τοῦ ὕψους τεκμήρια Reiskius | 25 τῶν om. P add. p | Ὀδ*σσείᾳ P Ὀδυσσείᾳ P

1 SENECA DE BREV. VIT. 13 Graecorum iste morbus fuit quaerere, quem numerum remigum Ulixes habuerit, prior scripta esset Ilias an Odyssea, praeterea, an eiusdem essent auctoris. LUCIANUS VER. HIST. II, 20 καὶ μὴν κἀκεῖνο ἐπεθύμουν εἰδέναι, εἰ πρότερον ἔγραψε τὴν Ὀδύσσειαν τῆς Ἰλιάδος, ὡς πολλοί φασιν. | 7 HOMERUS OD. γ, 809. EUSTATH. p. 1459, 29 Νέστωρ ἐξαριθμούμενος ἐν ἐπιτομῇ ἄνδρας ἐν τῷ τροικῷ πολέμῳ τρωθέντας ἀρίστους καὶ οὕτω ποικίλλων τὴν Ὀδύσσειαν τοῖς ἐξ Ἰλιάδος ἐλλείμμασι χρῆται σχήμασι ἐπιμονῆς. | 24 HOMERUS OD. ι, 182

9 γῆρας διηγοῦμαι, γῆρας δ' ὅμως Ὁμήρου. πλὴν ἐν ἅπασι τούτοις ἑξῆς τοῦ πρακτικοῦ κρατεῖ τὸ μυθικόν. παρεξέβην δ' εἰς ταῦθ', ὡς ἔφην, ἵνα δείξαιμι, ὡς εἰς λῆρον ἐνίοτε ῥᾷστον κατὰ τὴν ἀπακμὴν τὰ μεγαλοφυῆ παρατρέπεται, οἷα τὰ περὶ τὸν ἀσκὸν καὶ τοὺς ἐκ Κίρκης συομορφουμένους, οὓς ὁ Ζωίλος ἔφη χοιρίδια κλαίοντα, καὶ τὸν ὑπὸ τῶν πελειάδων ὡς νεοσσὸν παρατρεφόμενον Δία, καὶ τὸν ἐπὶ τοῦ ναυαγίου δέχ' ἡμέρας ἄσιτον, τά τε περὶ τὴν μνηστηροφονίαν ἀπίθανα. τί γὰρ ἂν ἄλλο φήσαιμεν ταῦτα ἢ τῷ ὄντι † τοῦ Διὸς ἐνύπνια; δευτέρου δὲ εἵνεκα προσιστορείσθω τὰ κατὰ τὴν Ὀδύσσειαν, 15
184r. ὅπως ᾖ σοι γνώριμον, ὡς ἡ ἀπ|ακμὴ τοῦ πάθους ἐν τοῖς μεγάλοις συγγραφεῦσι καὶ ποιηταῖς εἰς ἦθος ἐκλύεται. τοιαῦτα γάρ που τὰ περὶ τὴν τοῦ Ὀδυσσέως ἠθικῶς αὐτῷ βιολογούμενα οἰκίαν, οἱονεὶ κωμῳδία τίς ἐστιν ἠθολογουμένη.

Φέρε νῦν, εἴ τι καὶ ἕτερον ἔχοιμεν ὑψηλοὺς ποιεῖν τοὺς λόγους 10
δυνάμενον, ἐπισκεψώμεθα. οὐκοῦν ἐπειδὴ πᾶσι τοῖς πράγμασι φύσει συνεδρεύει τινὰ μόρια ταῖς ὕλαις συνυπάρχοντα, ἐξ ἀνάγκης γένοιτ' ἂν ἡμῖν ὕψους αἴτιον τὸ τῶν ἐμφερομένων ἐκλέγειν ἀεὶ τὰ καιριώτατα καὶ ταῦτα τῇ πρὸς ἄλληλα ἐπισυνθέσει καθάπερ ἕν τι σῶμα ποιεῖν δύνασθαι· ὃ μὲν γὰρ τῇ ἐκλογῇ τὸν ἀκροατὴν τῶν λημμάτων, ὃ δὲ τῇ πυκνώσει τῶν ἐκλελεγμένων προσάγεται. οἷον ἡ Σαπφὼ τὰ συμβαίνοντα ταῖς ἐρωτικαῖς μανίαις παθήματα ἐκ τῶν παρεπομένων καὶ ἐκ τῆς ἀληθείας αὐτῆς ἑκάστοτε λαμβάνει. ποῦ δὲ τὴν ἀρετὴν ἀποδείκνυται; ὅτε τὰ ἄκρα αὐτῶν καὶ ὑπερτεταμένα δεινὴ καὶ ἐκλέξαι καὶ εἰς ἄλληλα συνδῆσαι.

1 γῆρας δὴ ἡγοῦμαι **Boissonadeus ad Greg. Cor. p. 478** | 3 ἀπακμὴν **Manutius**: ἀκμὴν **P** παρακμην **Vaucherus** | 4 ἐν Κίρκης **Faber** | 5 συομορφουμένους **Valckenaerius ad Herod. VII, 174**: συοφορβουμένους **P** | 6 τὴν — ἀσιτίαν **Dobreeus adv. I p. 555** | 7 ἄσιτον Ὀδυσσέα **Tollius** | 9 προσιστορήσθω **Weiskius** | 14 ἔχομεν **Manutius** | 17 ἐμφερομένων **Tollius**: ἐκφερομένων **P** | τὰ ἀεὶ **Weiskius** | 19 ὃ μὲν — προσάγεται **del. Toupius** | ὃ μὲν — ὃ δὲ **Spengelius**: ὁ μὲν — ὁ δέ **P** τὸ μὲν — τὸ δὲ **Manutius** | τὸν ἀκροατὴν **del. Weiskius** | τῶν ἄκρων λημμάτων **Faber** | ἐκλογῇ τῶν λημμάτων τῶν ἀκροτάτων **Tollius** | 23 ταύτην τὴν **Faber** | **continue scripta Sapphus verba ita P** φαίνεταί μοι|κῆνος ἴσος θεοῖσιν ἔμμεναι ὤνηρ ὅστις ἐναντίος τοιζά|νει καὶ πλησίον ἀδὺ φωνεύσαις ὑπακούει καὶ γελαισί|μερόεν τὸ μὴ ἐμὰν καρδίαν ἐν στηθέσιν ἐπτόασεν ὡς | γὰρ σίδω βρόχεως με φωνὰς οὐδὲν ἔτ' εἴκει ἀλλὰ κὰν | μὲν γλῶσσα ἔαγε· λεπτὸν δ' αὐτίκα χρῷ πῦρ ὑπαδεδρό|μακεν ὀππάτεσι δ' οὐδὲν ὄρημι, ἐπιρομβεῖσι δ' ἄκουε. | ἐκαδε μ' ἱδρῶς ψυχρὸς κακχέεται τρόμος δὲ πᾶσαν ἀγρεῖ, χλωροτέρα δὲ ποιας ἔμμι· τεθνάκην δ' ὀλίγω | πιδεύσην φαίνομαι ἀλλὰ παντόλματον ἐπεὶ καὶ πέ|νητα

**4 HOMERUS OD. κ, 17 | 5 OD. κ, 237 | 6 OD. μ, 62 | 7 OD. μ, 447 | OD. χ, 79**

φαίνεταί μοι κῆνος ἴσος θεοῖσιν
ἔμμεν' ὠνήρ, ὄττις ἐναντίος τοι
ἰζάνει καὶ πλησίον ἀδὺ φωνεύ-
σας ὑπακούει
καὶ γελαίσας ἰμερόεν, τό μοι μὰν
καρδίαν ἐν στήθεσιν ἐπτόασεν.
ὥς σε γὰρ ἴδω, βροχέως με φώνας
οὐδὲν ἔτ' εἴκει·

1 Apollonius de pron. p. 75 (335) Αἰολεῖς κῆνος· 'φαίνεταί μοι κῆνος ἴσος θεοῖς ἔμμεν ὤνηρ' Σαπφώ. cf. p. 106 (366) Αἰολεῖς σὺν τῷ F 'φαίνεταί Fοι κῆνος' Σαπφώ | 2 ἔμμεν' Ahrensius de dial. aeol. p. 146 | ὄττις Blomfieldus mus. crit. I p. 7 | ἐναντίον Stephanus | 3 ἰσδάνει Blomfieldus ἰσδάνει Ahrensius | πλασίον Robortellus πλατίον Blomfieldus | φωνούσας Robortellus φωνοίσας Blomfieldus φωνείσας Neuius ἀδυφώνου σεῖ Manutius φωνᾶσαι σ' Boivinus | 4 ἐπακούει Hemsterhusius obs. misc. IV p. 287 (ad Xen. Ephes. II, 4) | 5 γελαίσας Buttmannus gr. gr. ampl. I p. 503: γελώσας Manutius καγγελάϊς Schurzfleischius καὶ γελᾶϊς Doederleinius reden u. aufs. II p. 300 | μοι μὰν Schneidewinus: μοι ἐμὰν ς μοι τὰν Stephanus μοι ἄμμαν Hermannus elem. d. m. p. 679 | 7 ὥς σε γὰρ ἴδω Ahrensius mus. rhen. VI p. 360: ὥς τε γὰρ ἰδῶ Blomfieldus ὡς γὰρ ἴδω σε Robortellus ὡς γὰρ εἰσίδω Hermannus elem. d. m. p. 679 Seidlerus mus. rhen. III p. 161 ὡς ἴδω γάρ σε Hermannus opp. VI, 1 p. 109 ὥς γὰρ εὔιδον Bergkius ὥστε γὰρ σ' ἴδω Neuius | Hesychius βρουχέων ἢ βρουκε ... ⟨βρουχέως ἢ βροχέως Is. Vossius⟩ σαφῶς, συντομῶς. Αἰολεῖς | βροχὲ ὥς Tollius | σε Seidlerus Bergkius | φώνας Ahrensius: φωνᾶς Robortellus | 8 ἔθ' ἥκει Robortellus ἔτ' ἴκει Toupius | Plutarchus de prof. in virt. 10 p. 81 D τὰ σαπφικὰ ταῦτα παρέπεται 'κατὰ μὲν γλῶσσ' ἔαγ' ἂν δὲ λεπτὸν αὐτίκα χρῷ πῦρ ὑποδέδρομε καὶ ⟨ὑποδεδρόμηκε Canterus nov. lectt. V, 27⟩ ἀθόρυβον δὲ ὄψιν καὶ πρᾶον ὄμμα ⟨θόρυβος δὲ ὄψεων καὶ ἀκοῶν βόμβος Canterus⟩ φθεγγομένου δ' ἀκούειν ποθησείας ⟨ποθήσεις Canterus⟩

1 PLUTARCHUS EROT. 18 p. 763 A ἀναμνῆσον ἡμᾶς, ἐν οἷς ἡ καλὴ Σαπφὼ λέγει τῆς ἐρωμένης ἐπιφανείσης τήν τε φωνὴν ἴσχεσθαι καὶ φλέγεσθαι ⟨Xylander φθέγγεσθαι codd.⟩ τὸ σῶμα καὶ καταλαμβάνειν ὠχρότητα καὶ πλάνον αὐτὴν καὶ ἴλιγγον. Demetr. 38 τῆς δὲ Στρατονίκης — φοιτώσης πολλάκις ἐγίνετο τὰ τῆς Σαπφοῦς ἐκεῖνα περὶ Ἀντίοχον πάντα, φωνῆς ἐπίσχεσις, ἐρύθημα πυρῶδες, ὄψεων ὑπολείψεις ⟨Canterus nov. lectt. V, 27 ὑποδείξεις codd.⟩, ἱδρῶτες ὀξεῖς, ἀταξία καὶ θόρυβος ἐν τοῖς σφυγμοῖς, τέλος δὲ τῆς ψυχῆς κατὰ κράτος ἡττωμένης, ἀπορία καὶ θάμβος καὶ ὠχρίασις. CATULLUS 51

ille mi par esse deo videtur
ille, si fas est, superare divos,
qui sedens adversus identidem te
spectat et audit
dulce ridentem, misero quod omnis
eripit sensus mihi: nam simul te
Lesbia, aspexi, nihil est super mi
* * *
lingua sed torpet, tenuis sub artus
flamma demanat, sonitu suopte

10 ἀλλὰ καμ μὲν γλῶσσα ἔαγε· λεπτὸν δ'
αὐτίκα χρῷ πῦρ ὑπαδεδρόμακεν·
ὀππάτεσσι δ' οὐδὲν ὄρημ', ἐπιρόμ-
βεισι δ' ἄκουαι·
ἀ δέ μ' ἴδρως κακχέεται, τρόμος δὲ
παῖσαν ἀγρεῖ, χλωροτέρα δὲ ποίας
184 v. ἔμμί· τεθνάκην δ' ὀλίγω|' πιδεύην
φαίνομαι ἄλλα.

πᾶν τὸ ἀσμάτιον † ἐπεὶ καὶ πένητα οὐ θαυμάζεις, ὡς ὑπ' αὐτὸ τὴν 3 ψυχὴν τὸ σῶμα τὰς ἀκοὰς τὴν γλῶσσαν τὰς ὄψεις τὴν χρόαν, πάντως ἀλλότρια διοιχόμενα ἐπιζητεῖ, καὶ καθ' ὑπεναντιώσεις ἅμα ψύχεται κάεται, ἀλογιστεῖ φρονεῖ; ἢ γὰρ φοβεῖται ἢ παρ' ὀλίγον τέθνηκεν· ἵνα μὴ ἕν τι περὶ αὐτὴν πάθος φαίνηται, παθῶν δὲ σύνοδος. πάντα μὲν τὰ τοιαῦτα γίνεται περὶ τοὺς ἐρῶντας, ἡ λῆψις δ' ὡς ἔφην τῶν ἄκρων καὶ ἡ εἰς ταὐτὸ συναίρεσις ἀπειργάσατο τὴν

1 καμ ς | καμμεῦ Is. Vossius ad Catull. p. 114, ἀλλ' ἀκὰν μὲν Boivinus | FέFαγε Blomfieldus Fέαγε Ahrensius | 2 χρῶν Ahrensius | χροῒ — ἐπιδεδρόμακεν Blomfieldus | 3 κάπιβομβεῦσι Robortellus ὄρωμι βομβεῦσι Manutius ὄρημι βομβεῦσ' ἐν δ' Ursinus ὄρημ ἐπιρρομβεῦσι δ' Boivinus | ἐπιβρόμεισι Bergkius | 4 ἄκουαι Robortellus | 5 Crameri anecd. Oxon. I p. 208 ἱδρώς· τοῦτο παρ' Αἰολεῦσι θηλυκῶς λέγεται. ἀναδέχεται κλίσιν ἀκόλουθον θηλυκῷ 'ἀδεμ' ἱδρὼς κακὸς χέεται' | ἀ δέ μ' Bergkius: ἐκ δέ μ' ς ἐκ δὲ Fίδρως vel καδ δὲ Fιδρὼς Schneidewinus καδδέ μ' ἴδρως Ahrensius de dial. dor. p. 542 | 6 ψυχρός del. Spengelius krit. bibl. 1828 p. 557 | 6 παῖσαν Ahrensius | 7 'πιδεύην Ahrensius: πιδευὴς Hermannus opp. VI, 1 p. 109 | ὀλίγου δέοισα Muretus ad Catull. 51 | 8 φαίνομαι ἄλλα Is. Vossius Bergkius: φαίνομαι ἄπνους Manutius φαίνομαι 'Ατθί Hermannus elem. d. m. p. 679 φαίνομαι οὐδέν Hermannus opp. VI, 1 p. 113 | 9 ἀλλὰ πᾶν τολματόν, ἐπεὶ εὐγενῆτα Seidlerus mus. rhen. III p. 165 ἀλλὰ παντόλματον ἀπεῖπεν ἦτορ Hermannus opp. VI, 1 p. 113

ἀλλὰ πᾶν τολματόν, ἐπεὶ χλιαίνῃ
πᾶς, ὃ θαυμάζοις ἂν ἴσως, ὑπ' αὐτῷ

Hermannus elem. d. m. p. 679 cf. opp. I p. 336 | τὸ ἀσμάτιον Ahrensius de dial. dor. p. 542 Bergkius | ὡς ἔπος εἰπεῖν — ἦ γὰρ οὐ; — θαυμάζεις Ahrensius ἐπεῖπον· εἶτα οὐ θαυμάζεις Bergkius | θαυμάζεις Robortellus: θαυμάζοις P | ὑπὸ τὸ αὐτὸ Spengelius ἐπὶ ταὐτὸ Tollius | 11 πάντως Spengelius: πανθ' ὡς P | 12 ἀλογιστεῖ Manutius ἀλογιστί P | φρονεῖ πτοεῖται ἢ Ruhnkenius φρονεῖ, οὐ γὰρ φοβεῖται ἢ Seidlerus mus. rhen. III p. 165 | ἢ γὰρ φοβεῖται del. Hermannus opp. VI, 1 p. 110 | ἢ γὰρ — τέθνηκεν del. Weiskius | 14 τὰ add. Manutius: om. P

tintinant aures geminae, teguntur
lumina nocte.

cf. LUCRETIUS III, 154

sudoresque ita palloremque existere toto
corpore et infringi linguam vocemque aboriri,
caligare oculos, sonare auris, succidere artus.

ἐξοχήν· ὅνπερ οἶμαι καὶ ἐπὶ τῶν χειμώνων τρόπον ὁ ποιητὴς ἐκλαμ- 10
4 βάνει τῶν παρακολουθούντων τὰ χαλεπώτατα. ὁ μὲν γὰρ τὰ ἀριμάσπεια ποιήσας ἐκεῖνα οἴεται δεινά·

θαῦμ' ἡμῖν καὶ τοῦτο μέγα φρεσὶν ἡμετέρῃσιν.
ἄνδρες ὕδωρ ναίουσιν ἀπὸ χθονὸς ἐν πελάγεσσι·
δύστηνοί τινές εἰσιν, ἔχουσι γὰρ ἔργα πονηρά,
ὄμματ' ἐν ἄστροισι, ψυχὴν δ' ἐν πόντῳ ἔχουσιν.
ἦπου πολλὰ θεοῖσι φίλας ἀνὰ χεῖρας ἔχοντες
εὔχονται σπλάγχνοισι κακῶς ἀναβαλλομένοισι.

παντὶ οἶμαι δῆλον, ὡς πλέον ἄνθος ἔχει τὰ λεγόμενα ἢ δέος. ὁ δὲ
5 Ὅμηρος πῶς; ἓν γὰρ ἀπὸ πολλῶν λεγέσθω·

ἐν δ' ἔπεσ', ὡς ὅτε κῦμα θοῇ ἐν νηῒ πέσῃσι
λάβρον ὑπαὶ νεφέων ἀνεμοτρεφές, ἡ δέ τε πᾶσα
ἄχνῃ ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸς ἀήτης
ἱστίῳ ἐμβρέμεται, τρομέουσι δέ τε φρένα ναῦται
δειδιότες· τυτθὸν γὰρ ὑπὲκ θανάτοιο φέρονται.

6 ἐπεχείρησε καὶ ὁ Ἄρατος τὸ αὐτὸ τοῦτο μετενεγκεῖν,

ὀλίγον δὲ διὰ ξύλον ἄϊδ' ἐ|ρύκει· 185 r.

πλὴν μικρὸν αὐτὸ καὶ γλαφυρὸν ἐποίησεν ἀντὶ φοβεροῦ· ἔτι δὲ παρώρισε τὸν κίνδυνον, εἰπών 'ξύλον ἄϊδ' ἐρύκει'· οὐκοῦν ἀπείργει. ὁ δὲ ποιητὴς οὐκ εἰς ἅπαξ παρορίζει τὸ δεινόν, ἀλλὰ τοὺς ἀεὶ καὶ μο-

1 ὅνπερ Tollius: ὅπερ P | τῶν^τον P | 2 ἀρ*ιμάσπεια P | 4 *μῖν P ἡμῖν P ἢ μὴν Faber | 5 ὕρον Tournierius de Aristea p. 28 cl. Hesych. ὕρον· σμῆνος | ν*ουσι P ναίουσι P | πελάγεσι P σ add. p | ἐνὶ P | 8 ἦπου P | 9 εὔχοντ' ἀσπλάγχνοισι Morus | 10 παντὶ* P | παντὶ μὴν Portus | ἢ δέος Victorius Toupius: ἡδέως P | ἄνθους — ἢ δέους Tollius | 13 ὑπὸ Homeri codd. | 16 τυθὸν P τ add. p | 20 ἐρύκει Manutius: ἀπείργει P | *υκοῦν P οὐκοῦν P | ἄϊδ' ἤγουν ἀπείργει Ruhnkenius | οὐκοῦν ἀπείργει del. Toupius | 21 οὐχ ὅπως Capperonnerius

2 SUIDAS Ἀριστέας Δημοχάριδος ἢ Καυστροβίου, Προκοννήσιος, ἐποποιός, τὰ ἀριμάσπεια καλούμενα ἔπη· ἔστι δὲ ἱστορία τῶν ὑπερβορέων Ἀριμασπῶν, βιβλία γ'. DIONYSIUS HALIC. IUD. DE THUC. 23 p. 864 R. οὔθ' αἱ διασωζόμεναι (γραφαὶ) παρὰ πᾶσιν ὡς ἐκείνων οὖσαι τῶν ἀνδρῶν πιστεύονται· ἐν αἷς εἰσὶν ἥ τε Κάδμου τοῦ Μιλησίου καὶ Ἀριστέου τοῦ Προκοννησίου καὶ τῶν παραπλησίων τούτοις. | 11 HOMERUS IL. O, 624 SCHOL. πρῶτος δὲ εἶπε τὸ Ἀναχάρσιδος τοῦ Σκύθου, ὃς ἐρόμενός τινα τῶν ναυτῶν 'πόσον ἀπέχομεν τοῦ ὕδατος' καὶ μαθὼν ὡς τέσσαρας δακτύλους, 'τοσοῦτον' εἶπε 'καὶ τοῦ θανατοῦ'. καὶ Ἄρατος 'ὀλίγον δὲ διὰ ξύλον', καὶ Καλλίμαχος 'μέσον ἐπὶ ⟨μεῖστον ἐπεὶ Diltheius anal. Callim. p. 12 sqq.⟩ ναύταις'. | 14 SCHOL. IL. A 17 ὅτι ἀρσενικῶς δεινὸς ἀήτη, ἀλλ' οὐ δεινή. ἔνιοι δὲ ἀγνοοῦντες ποιοῦσι δεινὸς ἀήτης· ἀλλ' οὐ δεῖ γράφειν οὕτως. | 17 ARATUS PHAEN. 299

ἀλλὰ καμ μὲν γλῶσσα ἔαγε· λεπτὸν δ'
αὐτίκα χρῶ πῦρ ὑπαδεδρόμακεν·
ὀππάτεσσι δ' οὐδὲν ὄρημ', ἐπιρόμ-
βεισι δ' ἄκουαι·
ἁ δέ μ' ἴδρως κακχέεται, τρόμος δὲ
παῖσαν ἀγρεῖ, χλωροτέρα δὲ ποίας
184 v. ἔμμί· τεθνάκην δ' ὀλίγω|'πιδεύην
φαίνομαι ἄλλα.

πᾶν τὸ ἀσμάτιον † ἐπεὶ καὶ πένητα οὐ θαυμάζεις, ὡς ὑπ' αὐτὸ τὴν ψυχὴν τὸ σῶμα τὰς ἀκοὰς τὴν γλῶσσαν τὰς ὄψεις τὴν χρόαν, πάντως ἀλλότρια διοιχόμενα ἐπιζητεῖ, καὶ καθ' ὑπεναντιώσεις ἅμα ψύχεται κάεται, ἀλογιστεῖ φρονεῖ; ἢ γὰρ φοβεῖται ἢ παρ' ὀλίγον τέθνηκεν· ἵνα μὴ ἕν τι περὶ αὐτὴν πάθος φαίνηται, παθῶν δὲ σύνοδος. πάντα μὲν τὰ τοιαῦτα γίνεται περὶ τοὺς ἐρῶντας, ἡ λῆψις δ' ὡς ἔφην τῶν ἄκρων καὶ ἡ εἰς ταὐτὸ συναίρεσις ἀπειργάσατο τὴν

1 καμ ς | καμμεῦ Is. Vossius ad Catull. p. 114, ἀλλ' ἀκὰν μὲν Boivinus | FέFαγε Blomfieldus Fέαγε Ahrensius | 2 χρῶν Ahrensius | χροῖ — ἐπιδεδρόμακεν Blomfieldus | 3 κάπιβομβεῦσι Robortellus ὄρωμι βομβεῦσι Manutius ὄρημι βομβεῦσ' ἐν δ' Ursinus ὄρημ ἐπιρρομβεῦσι δ' Boivinus | ἐπιβρόμεισι Bergkius | 4 ἄκουαι Robortellus | 5 Crameri anecd. Oxon. I p. 208 ἱδρώς· τοῦτο πα[illegible] Αἰολεῦσι θηλυκῶς λέγεται. ἀναδέχεται κλίσιν ἀκόλουθον θηλυκῷ 'ἀδεμ' ἴδρως κακ[illegible] χέεται' | ἁ δέ μ' Bergkius: ἐκ δέ μ' ς ἐκ δὲ Fίδρως vel καδ δὲ Fιδρὼς Schneidewinus καδδέ μ' ἴδρως Ahrensius de dial. dor. p. 542 | 6 ψυχρός del. Spengelius krit. bibl. 1828 p. 557 | 6 παῖσαν Ahrensius | 7 'πιδεύην Ahrensius: πιδευὴς Hermannus opp. VI, 1 p. 109 | ὀλίγου δέοισα Muretus ad Catull. 51 | 8 φαίνομαι ἄλλα Is. Vossius Bergkius: φαίνομαι ἄπνους Manutius φαίνομαι 'Ατ[illegible] Hermannus elem. d. m. p. 679 φαίνομαι οὐδέν Hermannus opp. VI, 1 p. 113 | 9 ἀλλὰ πᾶν τολματόν, ἐπεὶ εὐγενήτα Seidlerus mus. rhen. III p. 165 ἀλλὰ [illegible] τόλματον ἀπεῖπεν ἦτορ Hermannus opp. VI, 1 p. 113

ἀλλὰ πᾶν τολματόν, ἐπ[illegible] [illegible]λιαίνη
πᾶς, ὃ θαυμάζοις ἂ[illegible] ὑπ' αὐτῷ

Hermannus elem. d. m. p. 679 cf. [illegible] p. 336 | τὸ ἀσμάτι[illegible] de dial. dor. p. 542 Bergkius | ὡ[illegible] [illegible]ειν — ἢ γὰρ οὔ; — [illegible] rensius ἐπεῖπον· εἶτα οὐ θαυμάζει[illegible] [illegible] | θαυμάζεις Robo[illegible] ζοις P | ὑπὸ τὸ αὐτὸ Spengeli[illegible] [illegible]υτὸ Tollius | 11 π[illegible] πανθ' ὡς P | 12 ἀλογιστεῖ M[illegible] [illegible]ογιστί P | φρονεῖ πτο[illegible] φρονεῖ, οὐ γὰρ φοβεῖται ἢ Se[illegible] [illegible]mus. rhen. III p. 165 [illegible] Hermannus opp. VI, 1 p[illegible] [illegible]γάρ — τέθνηκεν del. W[illegible] Manutius: om. P

tinti[illegible] [illegible]

cf. LUCRETIU[illegible]

ἐξοχήν· [illegible]
4 βάνει τῶν [illegible]
μάστεια [illegible]

θαῦμ' [illegible]
ἄνδρες [illegible]
δύστηνοι [illegible] ι
ὄμματ' [illegible] ος
ἤπου [illegible] ση-
εὐχ[illegible] γίας

παντὶ οἶμαι [illegible] υμ-
5 Ὅμηρος [illegible] ν καὶ
ἐν δ' [illegible] τῃ τῆς
[illegible]
[illegible]
[illegible]
[illegible] πεπταμένον 185 r.

6 [illegible] μὲν ῥήτωρ [illegible] ς ἐκφλεγόμε- [illegible] ότητι οὐκ ἔψυ- [illegible] κατ' ἄλλα δέ τινα [illegible] λέγω δέ, εἰ καὶ ἡμῖν [illegible] Κικέρων τοῦ Δημοσθέ- [illegible] γὰρ ἐν ὕψει τὸ πλέον [illegible] μὲν ἡμέτερος διὰ τὸ μετὰ [illegible] δεινότητος οἷον καίειν τε ἅμα [illegible] οιτ' ἂν ἢ κεραυνῷ, ὁ δὲ Κικέ-

[illegible] schius | 4 ὅρος αὐξήσεως in marg. P | [illegible] Manutius | κεῖνο P | 12 μορίων Portus: [illegible] in P desunt duo folia | 21 ἀπαστράπτει [illegible] Vaucherus | 22 εἰ καὶ Manutius: καὶ P | [illegible] ους P in marg. | 27 ἢ κεραυνῷ del. Valcke- [illegible] χειμάρρῳ Ruhnkenius

2 SUIDAS [illegible] p. 864 R. [illegible] 457 SP. αὔξησίς ἐστι λόγος μεῖζον ποιῶν [illegible] 2 PLUTARCHUS DEMOSTH. 2 τὸ δὲ τοὺς λό- [illegible] Κικέρωνος) ἀντεξετάζειν καὶ ἀποφαίνεσθαι, πότερος [illegible] ἐάσομεν. κἀκεῖ γάρ, ὥς φησιν ὁ Ἴων, ‘δελφῖνος [illegible] περιττὸς ἐν ἅπασι Καικίλιος ἀγνοήσας ἐνεανιεύσατο [illegible] σθένους καὶ Κικέρωνος ἐξενεγκεῖν. ἀλλὰ γὰρ ἴσως, [illegible] θι σαυτὸν ἔχειν πρόχειρον, οὐκ ἂν ἐδόκει πρόσταγμα

10 νονουχὶ κατὰ πᾶν κῦμα πολλάκις ἀπολλυμένους εἰκονογραφεῖ. καὶ
μὴν τὰς προθέσεις ἀσυνθέτους οὔσας συναναγκάσας παρὰ φύσιν καὶ
εἰς ἀλλήλας συμβιασάμενος ʽὑπὲκ θανάτοιοʼ τῷ μὲν συνεμπίπτοντι
πάθει τὸ ἔπος ὁμοίως ἐβασάνισεν, τῇ δὲ τοῦ ἔπους συνθλίψει τὸ
πάθος ἄκρως ἀπεπλάσατο καὶ μόνον οὐκ ἐνετύπωσε τῇ λέξει τοῦ
κινδύνου τὸ ἰδίωμα ʽὑπὲκ θανάτοιο φέρονταιʼ. οὐκ ἄλλως ὁ Ἀρ- 7
χίλοχος ἐπὶ τοῦ ναυαγίου * * καὶ ἐπὶ τῇ προσαγγελίᾳ ὁ Δη-
μοσθένης ʽἑσπέρα μὲν γὰρ ἦνʼ φησίν ..... ἀλλὰ τὰς ἐξοχάς, ὡς
ἂν εἴποι τις, ἀριστίνδην ἐκκαθήραντες ἐπισυνέθηκαν, οὐδὲν φλοιῶδες
ἢ ἄσεμνον ἢ σχολικὸν ἐγκατατάττοντες διὰ μέσου. λυμαίνεται
γὰρ ταῦτα τὸ ὅλον, ὡσανεὶ ψήγματα † ἢ ἀραιώματα ἐμποιοῦντα
μεγέθη συνοικονομούμενα τῇ πρὸς ἄλληλα σχέσει συντετειχισμένα.

Σύνεδρός ἐστι ταῖς προεκκειμέναις ἀρετὴ [καὶ] ἣν καλοῦσιν 11
αὔξησιν, ὅταν δεχομένων τῶν πραγμάτων καὶ ἀγώνων κατὰ περιό-
δους ἀρχάς τε πολλὰς καὶ ἀναπαύλας, ἕτερα ἑτέροις ἐπεισκυκλού-
μενα μεγέθη συνεχῶς ἐπεισάγηται κατʼ ἐπίβασιν. τοῦτο δὲ εἴτε 2
διὰ τοπηγορίαν, εἴτε δείνωσιν, ἢ πραγμάτων ἢ κατασκευῶν ἐπίρρωσιν,
185v. εἴτʼ ἐποικονομίαν ἔργων ἢ παθῶν | — μυρίαι γὰρ ἰδέαι τῶν αὐξήσεων
— γίνοιτο, χρὴ γινώσκειν ὅμως τὸν ῥήτορα, ὡς οὐδὲν ἂν τούτων
καθʼ αὑτὸ συσταίη χωρὶς ὕψους τέλειον, πλὴν εἰ μὴ ἐν οἴκτοις ἄρα
νὴ Δία ἢ ἐν εὐτελισμοῖς, τῶν δʼ ἄλλων αὐξητικῶν ὅτου περ ἂν
τὸ ὑψηλὸν ἀφέλῃς, ὡς ψυχὴν ἐξαιρήσεις σώματος· εὐθὺς γὰρ ἀτο-
νεῖ καὶ κενοῦται τὸ ἔμπρακτον αὐτῶν μὴ τοῖς ὕψεσι συνεπιρρωννύ-
μενον. ᾗ μέντοι διαφέρει τοῦ ἀρτίως εἰρημένου τὰ νῦν παραγγελ- 3

1 ἀπολυμμένους P | 3 συμβιβασάμενος Petra | ὑπὲκ θανάτοιο del. G. S. A. class. journ. III, 5 p. 67 | 8 ἦν P ἦν corr. P | reliqua omisit scriptor | ὡς ἂν Ruhnkenius: ὡς P | 9 ἀριστ**δην P ἀριστίνδην P | ἐπικρίναντες Ruhnkenius ἐκλέξαντες καὶ ἐκκαθήραντες Toupius | 10 διαμέσου P | 11 ψήγματα Manutius: ψύγματα P | αι P ἢ suprascr. p | ἃ εἰς ἀραιώματα ἐμβύεται τὰ μεγέθη Ruhnkenius | ἀραρινώματα Faber παραπληρώματα Tollius | ἐμπιλοῦντα τὰ Tollius | τὰ ἓν ποιοῦντα v d apud Toupium | τὰ ἐμποιοῦντα Toupius | τὰ ἐμποιοῦντʼ ἂν Dobreeus adv. 1 p. 565 | 12 συνοικοδομούμενα Manutius | ἐμποιοῦντα μεγέθη συνοικονομούμενα del. Pearcius | τῇ τε Tollius | καὶ τῇ Faber | συνετειχι*μένα P σ add. p | 13 καὶ del. Tollius | 14 κατὰ — ἀναπαύλας del. Kayserus n. iahrb. LXX p. 292 | 16 κατὰ P | **τε P εἴτε P | 17 δείνωσιν πραγμάτων Weiskius f. | εἴτε πραγμάτων Tollius | πραγματικῶν κατασκευῶν Ruhnkenius | ἢ πραγμάτων del. Pearcius | εἴτʼ ἐπίρρωσιν Spengelius | ἢ πραγμάτων — ἐπίρρωσιν del. Vaucherus | 18 οἰκονομίαν Spengelius | παθῶν γίνοιτο Weiskius | 19 γίνοιτο Morus: γίνοιντο P del. Weiskius | γινώ*κειν P σ add. p | 23 σβέννυται Ruhnkenius | χαυνοῦται Nolteius ztschr. f. alterth. wiss. 1854 p. 304 | συνέπιρρωνύμενον P | 24 διαφέρῃ P διαφέρει P

6 ARCHILOCHUS 43 B ἵστη κατʼ ἤκην κύματός τε κἀνέμου. fr. 23 ψύχας ἔχοντες κυμάτων ἐν ἀγκάλαις. | 7 DEMOSTHENES DE COR. 169

λόμενα, — περιγραφὴ γάρ τις ἦν ἐκεῖνο τῶν ἄκρων λημμάτων καὶ 11
εἰς ἑνότητα σύνταξις — καὶ τίνι καθόλου τῶν αὐξήσεων παραλλάττει τὰ ὕψη, τῆς σαφηνείας αὐτῆς ἕνεκα συντόμως διοριστέον.
12 Ὁ μὲν οὖν τῶν τεχνογράφων ὅρος ἔμοιγ' οὐκ ἀρεστός· αὔξησίς ἐστι, φασί, λόγος μέγεθος περιτιθεὶς τοῖς ὑποκειμένοις· δύναται γὰρ ἀμέλει καὶ ὕψους καὶ πάθους καὶ τρόπων εἶναι κοινὸς οὗτος ὁ ὅρος, ἐπειδὴ κἀκεῖνα τῷ λόγῳ περιτίθησι ποιόν τι μέγεθος. ἐμοὶ δὲ φαίνεται ταῦτα ἀλλήλων παραλλάττειν, ᾗ κεῖται τὸ μὲν ὕψος ἐν διάρματι, ἡ δ' αὔξησις καὶ ἐν πλήθει· δι' ὃ ἐκεῖνο μὲν κἂν νοήματι ἑνὶ πολλάκις, ἡ δὲ πάντως μετὰ ποσότητος καὶ περιουσίας
2 τινὸς ὑφίσταται. καὶ ἔστιν ἡ αὔξησις, ὡς τύπῳ περιλαβεῖν, συμπλήρωσις ἀπὸ πάντων τῶν ἐμφερομένων τοῖς πράγμασι μορίων καὶ τόπων, ἰσχυροποιοῦσα τῇ ἐπιμονῇ τὸ κατεσκευασμένον, ταύτῃ τῆς πίστεως διεστῶσα, ὅτι ἡ μὲν τὸ ζητούμενον ἀποδεί ✱ ✱

✱ ✱ πλουσιώτατα, καθάπερ τι πέλαγος, εἰς ἀναπεπταμένον 185 r.
3 κέχυται πολλαχῇ μέγεθος. ὅθεν οἶμαι κατὰ λόγον ὁ μὲν ῥήτωρ ἅτε παθητικώτερος πολὺ τὸ διάπυρον ἔχει καὶ θυμικῶς ἐκφλεγόμενον, ὁ δὲ καθεστὼς ἐν ὄγκῳ καὶ μεγαλοπρεπεῖ σεμνότητι οὐκ ἔψυ-
4 κται μέν, ἀλλ' οὐχ οὕτως ἀπαστράπτει. οὐ κατ' ἄλλα δέ τινα ἢ ταῦτα, ἐμοὶ δοκεῖ, φίλτατε Τερεντιανέ, — λέγω δέ, εἰ καὶ ἡμῖν ὡς Ἕλλησιν ἐφεῖταί τι γινώσκειν — καὶ ὁ Κικέρων τοῦ Δημοσθένους ἐν τοῖς μεγέθεσι παραλλάττει. ὁ μὲν γὰρ ἐν ὕψει τὸ πλέον ἀποτόμῳ, ὁ δὲ Κικέρων ἐν χύσει, καὶ ὁ μὲν ἡμέτερος διὰ τὸ μετὰ βίας ἕκαστα, ἔτι δὲ τάχους ῥώμης δεινότητος οἷον καίειν τε ἅμα καὶ διαρπάζειν, σκηπτῷ τινι παρεικάζοιτ' ἂν ἢ κεραυνῷ, ὁ δὲ Κικέ-

2 παραλάττει P | 3 αὖθις Schurzfleischius | 4 ὅρος αὐξήσεως in marg. P | 7 ὁ add. Manutius: om. P | 9 διόπερ Manutius | κεῖνο P | 12 μορίων Portus: ὁρίων P | 14 ἀποδείκνυσι Manutius | in P desunt duo folia | 21 ἀπαστράπτει Bentleius: ἐπέστραπται P ἐπισκήπτει Vaucherus | 22 εἰ καὶ Manutius: καὶ P | 24 τίνι παραλάτει Κικέρων Δημοσθένους P in marg. | 27 ἢ κεραύνῳ del. Valckenarius ad Eurip. Hipp. 438 ἢ χειμάρρῳ Ruhnkenius

4 ANON. RHET. I p. 457 SP. αὔξησίς ἐστι λόγος μεῖζον ποιῶν φαίνεσθαι τὸ πρᾶγμα. | 22 PLUTARCHUS DEMOSTH. 2 τὸ δὲ τοὺς λόγους ⟨Δημοσθένους καὶ Κικέρωνος⟩ ἀντεξετάζειν καὶ ἀποφαίνεσθαι, πότερος ἡδίων ἢ δεινότερος εἰπεῖν, ἐάσομεν. κἀκεῖ γάρ, ὥς φησιν ὁ Ἴων, 'δελφῖνος ἐν χέρσῳ βία', ἣν ὁ περιττὸς ἐν ἅπασι Καικίλιος ἀγνοήσας ἐνεανιεύσατο σύγκρισιν τοῦ Δημοσθένους καὶ Κικέρωνος ἐξενεγκεῖν. ἀλλὰ γὰρ ἴσως, εἰ παντὸς ἦν τὸ γνῶθι σαυτὸν ἔχειν πρόχειρον, οὐκ ἂν ἐδόκει πρόσταγμα θεῖον εἶναι.

9 βῆ δ' ἐλάαν ἐπὶ κύματ', ἄταλλε δὲ κήτε' ὑπ' αὐτοῦ
πάντοθεν ἐκ κευθμῶν, οὐδ' ἠγνοίησεν ἄνακτα·
γηθοσύνῃ δὲ θάλασσα διΐστατο, τοὶ δὲ πέτοντο.

ταύτῃ καὶ ὁ τῶν Ἰουδαίων θεσμοθέτης, οὐχ ὁ τυχὼν ἀνήρ, 9
ἐπειδὴ τὴν τοῦ θείου δύναμιν κατὰ τὴν ἀξίαν ἐχώρησε κἀξέφηνεν,
εὐθὺς ἐν τῇ εἰσβολῇ γράψας τῶν νόμων 'εἶπεν ὁ θεός' φησί· τί;
'γενέσθω φῶς, καὶ ἐγένετο· γενέσθω γῆ, καὶ ἐγένετο'. οὐκ ὀχλη- 10
ρὸς ἂν ἴσως, ἑταῖρε, δόξαιμι, ἓν ἔτι τοῦ ποιητοῦ καὶ τῶν ἀνθρωπίνων
παραθέμενος τοῦ μαθεῖν χάριν, ὡς εἰς τὰ ἡρωϊκὰ μεγέθη συνεμβαί-
νειν ἐθίζει. ἀχλὺς ἄφνω καὶ νὺξ ἄπορος αὐτῷ τὴν τῶν Ἑλλήνων
ἐπέχει μάχην· ἔνθα δὴ ὁ Αἴας ἀμηχανῶν 'Ζεῦ πάτερ', φησίν

'ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας Ἀχαιῶν,
ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι·
183 r. Κϛ ἐν δὲ φάει καὶ ὄλεσσον'.

ἔστιν ὡς ἀληθῶς τὸ πάθος Αἴαντος, οὐ γὰρ ζῆν εὔχεται — ἦν
γὰρ τὸ αἴτημα τοῦ ἥρωος ταπεινότερον —, ἀλλ' ἐπειδὴ ἐν ἀπράκτῳ
σκότει τὴν ἀνδρίαν εἰς οὐδὲν γενναῖον εἶχε διαθέσθαι, διὰ ταῦτ' ἀγα-
νακτῶν [ὅτι πρὸς τὴν μάχην ἀργεῖ] φῶς ὅτι τάχιστα αἰτεῖται, ὡς
πάντως τῆς ἀρετῆς εὑρήσων ἐντάφιον ἄξιον, κἂν αὐτῷ Ζεὺς ἀντι-
τάττηται. ἀλλὰ γὰρ Ὅμηρος μὲν ἐνθάδε οὔριος συνεμπνεῖ τοῖς
ἀγῶσιν καὶ οὐκ ἄλλο τι αὐτὸς πέπονθεν ἢ 11

μαίνεται, ὡς ὅτ' Ἄρης ἐγχέσπαλος ἢ ὀλοὸν πῦρ
οὔρεσι μαίνηται, βαθέης ἐνὶ τάρφεσιν ὕλης,
ἀφλοισμὸς δὲ περὶ στόμα γίγνεται'·

δείκνυσι δ' ὅμως διὰ τῆς Ὀδυσσείας — καὶ γὰρ ταῦτα πολλῶν
ἕνεκα προσεπιθεωρητέον — ὅτι μεγάλης φύσεως ὑποφερομένης ἤδη
ἴδιόν ἐστιν ἐν γήρᾳ τὸ φιλόμυθον. δῆλος γὰρ ἐκ πολλῶν τε ἄλ- 12

1 καὶ βῆ Tollius | κύματος ἄταλλυδε d | αὐτῷ Toupius | 2 κεθμῶν d | 3 δί-στατο d | 4 ταύτῃ — ἐγένετο del. Spengelius spec. emend. in Tacit. p. 7 sq. Vaucherus | θεσμοδότης Robortellus | 5 ἐγνώρισε Manutius ἐχώρησε ἐγνώρισε Toupius ἐχώρισε Barkerus class. journ. V, 9 p. 40 | κἀξέφυνεν d | 6 εὐθὲ d corr. ις 2 m. | 8 κατὰ τῶν Tollius | 10 ἄπειρος Manutius | ἐλῄνων d | 11 ἐπέχειν d | 14 ὄλεσον P σ add. p | 17 ἀνδρ**ιαν P | διὰ — ἀργεῖ del. Vaucherus | 18 ὅτι — ἀργεῖ del. Ruhnkenius | 22 μαίνετο δ'' Homeri codd. | 23 ἐν P ἢ Faber | 24 ἀφλυσμὸς P | γίγνετο Homeri codd. | 27 γερ** P | δῆλα ς

1 HOMERUS IL. N, 27 | 6 GENES. I, 3 καὶ εἶπεν ὁ θεός 'γενηθήτω φῶς'. — 9 καὶ εἶπεν ὁ θεὸς 'συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν καὶ ὀφθήτω ἡ ξηρά'. καὶ ἐγένετο οὕτως. 'Longinus fortasse non tam septuaginta seniores legit, quam hoc exemplum a Caecilio rhetore, qui τὴν δόξαν Ἰουδαῖος vocatur a Suida, mutuatus est'. Schurzfleischius. | 12 HOMERUS IL. P, 645 | 22 IL. O, 605

λων συντεθεικὼς ταύτην δευτέραν τὴν ὑπόθεσιν, ἀτὰρ δὴ κἀκ τοῦ 9
λείψανα τῶν ἰλιακῶν παθημάτων διὰ τῆς Ὀδυσσείας ὡς ἐπεισόδιά
τινα τοῦ τρωϊκοῦ πολέμου προσεπεισφέρειν, καὶ νὴ Δί' ἐκ τοῦ τὰς
ὀλοφύρσεις καὶ τοὺς οἴκτους, ὡς πάλαι που προεγνωσμένους τοῖς
ἥρωσιν, ἐνταῦθα προσαποδιδόναι. οὐ γὰρ ἄλλ' ἢ τῆς Ἰλιάδος ἐπίλο-
γός ἐστιν ἡ Ὀδύσσεια·

ἔνθα μὲν Αἴας κεῖται ἀρήϊος, ἔνθα δ' Ἀχιλλεύς,
ἔνθα δὲ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος·
ἔνθα δ' ἐμὸς φίλος υἱός.

ἀπὸ δὲ τῆς αὐτῆς αἰτίας, οἶμαι, τῆς μὲν Ἰλιάδος γραφομένης
13 ἐν ἀκμῇ [πνεύματος] ὅλον τὸ σωμάτιον δραματικὸν ὑπεστήσατο | καὶ 183v.
ἐναγώνιον, τῆς δὲ Ὀδυσσείας τὸ πλέον διηγηματικόν, ὅπερ ἴδιον γή-
ρως. ὅθεν ἐν τῇ Ὀδυσσείᾳ παρεικάσαι τις ἂν καταδυομένῳ τὸν
Ὅμηρον ἡλίῳ, οὗ δίχα τῆς σφοδρότητος παραμένει τὸ μέγεθος. οὐ
γὰρ ἔτι τοῖς ἰλιακοῖς ἐκείνοις ποιήμασιν ἴσον ἐνταῦθα σώζει τὸν
τόνον, οὐδ' ἐξωμαλισμένα τὰ ὕψη καὶ ἰζήματα μηδαμοῦ λαμ-
βάνοντα, οὐδὲ τὴν πρόχυσιν ὁμοίαν τῶν ἐπαλλήλων παθῶν,
οὐδὲ τὸ ἀγχίστροφον καὶ πολιτικὸν καὶ ταῖς ἐκ τῆς ἀληθείας
φαντασίαις καταπεπυκνωμένον· ἀλλ' οἷον ὑποχωροῦντος εἰς ἑαυτὸν
ὠκεανοῦ καὶ περὶ τὰ ἴδια † μέτρα ἐρημουμένου τὸ λοιπὸν φαίνον-
ται τοῦ μεγέθους ἀμπώτιδες κἀν τοῖς μυθώδεσι καὶ ἀπίστοις πλά-
14 νοις. λέγων δὲ ταῦτ' οὐκ ἐπιλέλησμαι τῶν ἐν τῇ Ὀδυσσείᾳ
χειμώνων καὶ τῶν περὶ τὸν Κύκλωπα καί τινων ἄλλων, ἀλλὰ

4 προεγνωσμένοις Reiskius G. S. A. class. journ. III, 5 p. 66 | 5 οὐ γὰρ — Ὀδύσσεια post υἱός ponenda | ἄλλο τι ἢ Nolteius ztschr. f. alterth. wiss. 1854 p. 303 | 16 ἐξωμαλι***να P ἐξωμαλισμένα P | 20 τέρματα Manutius | περὶ τ' ἀΐδνα τέλματα v. d. apud Ruhnkenium | τέρματα ἡμερουμένου Pricaeus Ruhnkenius μέτρα ἠπειρουμένου Toupius | ῥηγνυμένου Nolteius ztschr. f. alterth. wiss. 1854 p. 303 | 21 ἀμπώτιδες, οὕτω παρ' Ὁμήρῳ, ὁ ἐν τοῖς Faber | ἀμπώτιδες, οὕτω καὶ Ὁμήρου φαίνεται τὸ μέγεθος κἀν ταῖς Toupius | πλάνοις Pearcius: πλάνος P | Ὀδυσσέως, πλάναις Toupius | φαίνονται τεκμήρια τοῦ μεγέθους ἀμπώτιδες, οὕτω κἀν — πλάνοις φαίνεται οὐκ ἄδηλα τοῦ ὕψους τεκμήρια Reiskius | 25 τῶν om. P add. p | Ὀδ*σσείᾳ P Ὀδυσσείᾳ P

1 SENECA DE BREV. VIT. 13 Graecorum iste morbus fuit quaerere, quem numerum remigum Ulixes habuerit, prior scripta esset Ilias an Odyssea, praeterea, an eiusdem essent auctoris. LUCIANUS VER. HIST. II, 20 καὶ μὴν κἀκεῖνο ἐπεθύμουν εἰδέναι, εἰ πρότερον ἔγραψε τὴν Ὀδύσσειαν τῆς Ἰλιάδος, ὡς πολλοί φασιν. | 7 HOMERUS OD. γ, 809. EUSTATH. p. 1459, 29 Νέστωρ ἐξαριθμούμενος ἐν ἐπιτομῇ ἄνδρας ἐν τῷ τροικῷ πολέμῳ τρωθέντας ἀρίστους καὶ οὕτω ποικίλλων τὴν Ὀδύσσειαν τοῖς ἐξ Ἰλιάδος ἐλλείμμασι χρῆται σχήμασι ἐπιμονῆς. | 24 HOMERUS OD. ι, 182

9 γῆρας διηγοῦμαι, γῆρας δ' ὅμως Ὁμήρου. πλὴν ἐν ἅπασι τούτοις ἑξῆς τοῦ πρακτικοῦ κρατεῖ τὸ μυθικόν. παρεξέβην δ' εἰς ταῦθ', ὡς ἔφην, ἵνα δείξαιμι, ὡς εἰς λῆρον ἐνίοτε ῥᾷστον κατὰ τὴν ἀπακμὴν τὰ μεγαλοφυῆ παρατρέπεται, οἷα τὰ περὶ τὸν ἀσκὸν καὶ τοὺς ἐκ Κίρκης συομορφουμένους, οὓς ὁ Ζωΐλος ἔφη χοιρίδια κλαίοντα, καὶ τὸν ὑπὸ τῶν πελειάδων ὡς νεοσσὸν παρατρεφόμενον Δία, καὶ τὸν ἐπὶ τοῦ ναυαγίου δέχ' ἡμέρας ἄσιτον, τά τε περὶ τὴν μνηστηροφονίαν ἀπίθανα. τί γὰρ ἂν ἄλλο φήσαιμεν ταῦτα ἢ τῷ ὄντι † τοῦ Διὸς ἐνύπνια; δευτέρου δὲ εἵνεκα προσιστορείσθω τὰ κατὰ τὴν Ὀδύσσειαν, 15
184r. ὅπως ᾖ σοι γνώριμον, ὡς ἡ ἀπ|ακμὴ τοῦ πάθους ἐν τοῖς μεγάλοις συγγραφεῦσι καὶ ποιηταῖς εἰς ἦθος ἐκλύεται. τοιαῦτα γάρ που τὰ περὶ τὴν τοῦ Ὀδυσσέως ἠθικῶς αὐτῷ βιολογούμενα οἰκίαν, οἱονεὶ κωμῳδία τίς ἐστιν ἠθολογουμένη.

Φέρε νῦν, εἴ τι καὶ ἕτερον ἔχοιμεν ὑψηλοὺς ποιεῖν τοὺς λόγους 10 δυνάμενον, ἐπισκεψώμεθα. οὐκοῦν ἐπειδὴ πᾶσι τοῖς πράγμασι φύσει συνεδρεύει τινὰ μόρια ταῖς ὕλαις συνυπάρχοντα, ἐξ ἀνάγκης γένοιτ' ἂν ἡμῖν ὕψους αἴτιον τὸ τῶν ἐμφερομένων ἐκλέγειν ἀεὶ τὰ καιριώτατα καὶ ταῦτα τῇ πρὸς ἄλληλα ἐπισυνθέσει καθάπερ ἕν τι σῶμα ποιεῖν δύνασθαι· ὃ μὲν γὰρ τῇ ἐκλογῇ τὸν ἀκροατὴν τῶν λημμάτων, ὃ δὲ τῇ πυκνώσει τῶν ἐκλελεγμένων προσάγεται. οἷον ἡ Σαπφὼ τὰ συμβαίνοντα ταῖς ἐρωτικαῖς μανίαις παθήματα ἐκ τῶν παρεπομένων καὶ ἐκ τῆς ἀληθείας αὐτῆς ἑκάστοτε λαμβάνει. ποῦ δὲ τὴν ἀρετὴν ἀποδείκνυται; ὅτε τὰ ἄκρα αὐτῶν καὶ ὑπερτεταμένα δεινὴ καὶ ἐκλέξαι καὶ εἰς ἄλληλα συνδῆσαι.

1 γῆρας δὴ ἡγοῦμαι Boissonadeus ad Greg. Cor. p. 478 | 3 ἀπακμὴν Manutius: ἀκμὴν P παρακμὴν Vaucherus | 4 ἐν Κίρκης Faber | 5 συομορφουμένους Valckenaerius ad Herod. VII, 174: συοφορβουμένους P | 6 τὴν — ἀσιτίαν Dobreeus adv. I p. 555 | 7 ἄσιτον Ὀδυσσέα Tollius | 9 προσιστορήσθω Weiskius | 14 ἔχομεν Manutius | 17 ἐμφερομένων Tollius: ἐκφερομένων P | τὰ ἀεὶ Weiskius | 19 ὃ μὲν — προσάγεται del. Toupius | ὃ μὲν — ὃ δὲ Spengelius: ὁ μὲν — ὁ δέ P τὸ μὲν — τὸ δὲ Manutius | τὸν ἀκροατὴν del. Weiskius | τῶν ἄκρων λημμάτων Faber | ἐκλογῇ τῶν λημμάτων τῶν ἀκροτάτων Tollius | 23 ταύτην τὴν Faber | continue scripta Sapphus verba ita P φαίνεταί μοι|κῆνος ἴσος θεοῖσιν ἔμμενων ἤρο*στις ἐναντίος τοιζά|νει καὶ πλησίον ἀσῦφων.σαῖσ ὑπακούει καὶ γελα*ισί|μερόεν τὸ μὴ ἐμὰν καρδίαν ἐν στηθέσιν ἐπτόασεν ὡς | γὰρ σἴδω βρόχεωσ με φωνὰς οὐδὲν ἔτ' εἴκει ἀλλὰ κὰν | μὲν γλῶσσα ἔαγε· λεπτὸν δ' αὐτίκα χρῷ πῦρ ὑπαδεδρό|μακεν ὀππάτεσι δ' οὐδὲν ὄρῆιμὴ, ἐπιρομβεῖσι δ' ἄκουε. | ἔκαδε μ' ἴδρῶς ψυχρὸς κακχέεται τρόμος δὲ πᾶ*σά|ναγρεῖ, χλωροτέρα δὲ ποίας ἔμμι· τεθνάκην δ' ὀλίγω|πιδεύσην φαίνομαι ἀλλὰ παντόλμα*τον ἐπεὶ καὶ πέ|νητα

4 HOMERUS OD. κ, 17 | 5 OD. κ, 237 | 6 OD. μ, 62 | 7 OD. μ, 447 | OD. χ, 79

φαίνεταί μοι κῆνος ἴσος θεοῖσιν
ἔμμεν' ὠνήρ, ὅττις ἐναντίος τοι
ἰζάνει καὶ πλησίον ἀδὺ φωνεύ-
σας ὑπακούει
καὶ γελαίσας ἰμερόεν, τό μοι μὰν
καρδίαν ἐν στήθεσιν ἐπτόασεν.
ὥς σε γὰρ ἴδω, βροχέως με φώνας
οὐδὲν ἔτ' εἴκει·

1 Apollonius de pron. p. 75 (335) Αἰολεῖς κῆνος· 'φαίνεταί μοι κῆνος ἴσος θεοῖς ἔμμεν ὤνηρ' Σαπφώ. cf. p. 106 (366) Αἰολεῖς σὺν τῷ F 'φαίνεταί Fοι κῆνος' Σαπφώ | 2 ἔμμεν' Ahrensius de dial. aeol. p. 146 | ὅττις Blomfieldus mus. crit. I p. 7 | ἐναντίον Stephanus | 3 ἰσδάνει Blomfieldus ἰσδάνει Ahrensius | πλασίον Robortellus πλατίον Blomfieldus | φωνούσας Robortellus φωνοίσας Blomfieldus φωνείσας Neuius ἀδυφώνου σεῖ Manutius φωνᾶσαι σ' Boivinus | 4 ἐπακούει Hemsterhusius obs. misc. IV p. 287 (ad Xen. Ephes. II, 4) | 5 γελαίσας Buttmannus gr. gr. ampl. I p. 503: γελώσας Manutius καγγελάϊς Schurzfleischius καὶ γελᾶϊς Doederleinius reden u. aufs. II p. 300 | μοι μὰν Schneidewinus: μοι ἐμὰν ς μοι τὰν Stephanus μοι ἄμμαν Hermannus elem. d. m. p. 679 | 7 ὥς σε γὰρ ἴδω Ahrensius mus. rhen. VI p. 360: ὥς τε γὰρ ἰδῶ Blomfieldus ὡς γὰρ ἴδω σε Robortellus ὡς γὰρ εἰσίδω Hermannus elem. d. m. p. 679 Seidlerus mus. rhen. III p. 161 ὡς ἴδω γάρ σε Hermannus opp. VI, 1 p. 109 ὥς γὰρ εὔιδον Bergkius ὥστε γὰρ σ' ἴδω Neuius | Hesychius βρουχέων ἢ βρουκε... ⟨βρουχέως ἢ βροχέως Is. Vossius⟩ σαφῶς, συντομῶς. Αἰολεῖς | βροχέ' ὥς Tollius | σε Seidlerus Bergkius | φώνας Ahrensius: φωνᾶς Robortellus | 8 ἔθ' ἥκει Robortellus ἔτ' ἴκει Toupius | Plutarchus de prof. in virt. 10 p. 81 D τὰ σαπφικὰ ταῦτα παρέπεται 'κατὰ μὲν γλῶσσ' ἔαγ' ἂν δὲ λεπτὸν αὐτίκα χρῷ πῦρ ὑποδέδρομε καὶ ⟨ὑποδεδρόμηκε Canterus nov. lectt. V, 27⟩ ἀθόρυβον δὲ ὄψιν καὶ πρᾶον ὄμμα ⟨θόρυβος δὲ ὄψεων καὶ ἀκοῶν βόμβος Canterus⟩ φθεγγομένου δ' ἀκούειν ποθησείας ⟨ποθήσεις Canterus⟩

1 PLUTARCHUS EROT. 18 p. 763 A ἀναμνῆσον ἡμᾶς, ἐν οἷς ἡ καλὴ Σαπφὼ λέγει τῆς ἐρωμένης ἐπιφανείσης τήν τε φωνὴν ἴσχεσθαι καὶ φλέγεσθαι ⟨Xylander φθέγγεσθαι codd.⟩ τὸ σῶμα καὶ καταλαμβάνειν ὠχρότητα καὶ πλάνον αὐτὴν καὶ ἴλιγγον. Demetr. 38 τῆς δὲ Στρατονίκης — φοιτώσης πολλάκις ἐγίνετο τὰ τῆς Σαπφοῦς ἐκεῖνα περὶ 'Αντίοχον πάντα, φωνῆς ἐπίσχεσις, ἐρύθημα πυρῶδες, ὄψεων ὑπολείψεις ⟨Canterus nov. lectt. V, 27 ὑποδείξεις codd.⟩, ἱδρῶτες ὀξεῖς, ἀταξία καὶ θόρυβος ἐν τοῖς σφυγμοῖς, τέλος δὲ τῆς ψυχῆς κατὰ κράτος ἡττωμένης, ἀπορία καὶ θάμβος καὶ ὠχρίασις. CATULLUS 51

ille mi par esse deo videtur
ille, si fas est, superare divos,
qui sedens adversus identidem te
spectat et audit
dulce ridentem, misero quod omnis
eripit sensus mihi: nam simul te
Lesbia, aspexi, nihil est super mi
* * *
lingua sed torpet, tenuis sub artus
flamma demanat, sonitu suopte

10 ἀλλὰ καμ μὲν γλῶσσα ἔαγε· λεπτὸν δ'
αὐτίκα χρῷ πῦρ ὑπαδεδρόμακεν·
ὀππάτεσσι δ' οὐδὲν ὄρημ', ἐπιρόμ-
βεισι δ' ἄκουαι·
ἁ δέ μ' ἴδρως κακχέεται, τρόμος δὲ
παῖσαν ἀγρεῖ, χλωροτέρα δὲ ποίας
184 v. ἔμμί· τεθνάκην δ' ὀλίγω|' πιδεύην
φαίνομαι ἄλλα.

πᾶν τὸ ἀσμάτιον † ἐπεὶ καὶ πένητα οὐ θαυμάζεις, ὡς ὑπ' αὐτὸ τὴν 3
ψυχὴν τὸ σῶμα τὰς ἀκοὰς τὴν γλῶσσαν τὰς ὄψεις τὴν χρόαν, πάντως ἀλλότρια διοιχόμενα ἐπιζητεῖ, καὶ καθ' ὑπεναντιώσεις ἅμα ψύχεται κᾴεται, ἀλογιστεῖ φρονεῖ; ἢ γὰρ φοβεῖται ἢ παρ' ὀλίγον τέθνηκεν· ἵνα μὴ ἕν τι περὶ αὐτὴν πάθος φαίνηται, παθῶν δὲ σύνοδος. πάντα μὲν τὰ τοιαῦτα γίνεται περὶ τοὺς ἐρῶντας, ἡ λῆψις δ' ὡς ἔφην τῶν ἄκρων καὶ ἡ εἰς ταὐτὸ συναίρεσις ἀπειργάσατο τὴν

1 καμ ς | καμμεῦ Is. Vossius ad Catull. p. 114, ἀλλ' ἀκὰν μὲν Boivinus | FέFαγε Blomfieldus Fέαγε Ahrensius | 2 χρῶν Ahrensius | χροῖ — ἐπιδεδρόμακεν Blomfieldus | 3 κἀπιβομβεῦσι Robortellus ὄρωμι βομβεῦσι Manutius ὄρημι βομβεῦσ' ἐν δ' Ursinus ὄρημ ἐπιρρομβεῦσι δ' Boivinus | ἐπιβρόμεισι Bergkius | 4 ἄκουαι Robortellus | 5 Crameri anecd. Oxon. I p. 208 ἱδρώς· τοῦτο παρ' Αἰολεῦσι θηλυκῶς λέγεται. ἀναδέχεται κλίσιν ἀκόλουθον θηλυκῷ 'ἀδεμ' ἱδρὼς κακὸς χέεται' | ἁ δέ μ' Bergkius: ἐκ δέ μ' ς ἐκ δὲ Fίδρως vel καδ δὲ Fιδρὼς Schneidewinus καδδέ μ' ἴδρως Ahrensius de dial. dor. p. 542 | 6 ψυχρός del. Spengelius krit. bibl. 1828 p. 557 | 6 παῖσαν Ahrensius | 7 'πιδεύην Ahrensius: πιδευὴς Hermannus opp. VI, 1 p. 109 | ὀλίγου δέοισα Muretus ad Catull. 51 | 8 φαίνομαι ἄλλα Is. Vossius Bergkius: φαίνομαι ἄπνους Manutius φαίνομαι 'Ατθί Hermannus elem. d. m. p. 679 φαίνομαι οὐδέν Hermannus opp. VI, 1 p. 113 | 9 ἀλλὰ πᾶν τολματόν, ἐπεὶ εὐγενήτα Seidlerus mus. rhen. III p. 165 ἀλλὰ παντόλματον ἀπεῖπεν ἦτορ Hermannus opp. VI, 1 p. 113

ἀλλὰ πᾶν τολματόν, ἐπεὶ χλιαίνῃ
πᾶς, ὃ θαυμάζοις ἂν ἴσως, ὑπ' αὐτῷ

Hermannus elem. d. m. p. 679 cf. opp. I p. 336 | τὸ ἀσμάτιον Ahrensius de dial. dor. p. 542 Bergkius | ὡς ἔπος εἰπεῖν — ἦ γὰρ οὔ; — θαυμάζεις Ahrensius ἐπεῖπον· εἶτα οὐ θαυμάζεις Bergkius | θαυμάζεις Robortellus: θαυμάζοις P. | ὑπὸ τὸ αὐτὸ Spengelius ἐπὶ ταὐτὸ Tollius | 11 πάντως Spengelius: πανθ' ὡς P | 12 ἀλογιστεῖ Manutius ἀλογιστί P | φρονεῖ πτοεῖται ἢ Ruhnkenius φρονεῖ, οὐ γὰρ φοβεῖται ἢ Seidlerus mus. rhen. III p. 165 | ἢ γὰρ φοβεῖται del. Hermannus opp. VI, 1 p. 110 | ἢ γὰρ — τέθνηκεν del. Weiskius | 14 τὰ add. Manutius: om. P

tintinant aures geminae, teguntur
lumina nocte.

cf. LUCRETIUS III, 154

sudoresque ita palloremque existere toto
corpore et infringi linguam vocemque aboriri,
caligare oculos, sonare auris, succidere artus.

ἐξοχήν· ὅνπερ οἶμαι καὶ ἐπὶ τῶν χειμώνων τρόπον ὁ ποιητὴς ἐκλαμ- 10
4 βάνει τῶν παρακολουθούντων τὰ χαλεπώτατα. ὁ μὲν γὰρ τὰ ἀριμάσπεια ποιήσας ἐκεῖνα οἴεται δεινά·

θαῦμ' ἡμῖν καὶ τοῦτο μέγα φρεσὶν ἡμετέρῃσιν.
ἄνδρες ὕδωρ ναίουσιν ἀπὸ χθονὸς ἐν πελάγεσσι·
δύστηνοί τινές εἰσιν, ἔχουσι γὰρ ἔργα πονηρά,
ὄμματ' ἐν ἄστροισι, ψυχὴν δ' ἐν πόντῳ ἔχουσιν.
ἦπου πολλὰ θεοῖσι φίλας ἀνὰ χεῖρας ἔχοντες
εὔχονται σπλάγχνοισι κακῶς ἀναβαλλομένοισι.

παντὶ οἶμαι δῆλον, ὡς πλέον ἄνθος ἔχει τὰ λεγόμενα ἢ δέος. ὁ δὲ
5 Ὅμηρος πῶς; ἓν γὰρ ἀπὸ πολλῶν λεγέσθω·

ἐν δ' ἔπεσ', ὡς ὅτε κῦμα θοῇ ἐν νηὶ πέσῃσι
λάβρον ὑπαὶ νεφέων ἀνεμοτρεφές, ἡ δέ τε πᾶσα
ἄχνῃ ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸς ἀήτης
ἱστίῳ ἐμβρέμεται, τρομέουσι δέ τε φρένα ναῦται
δειδιότες· τυτθὸν γὰρ ὑπὲκ θανάτοιο φέρονται.

6 ἐπεχείρησε καὶ ὁ Ἄρατος τὸ αὐτὸ τοῦτο μετενεγκεῖν,

ὀλίγον δὲ διὰ ξύλον ἄϊδ' ἐ|ρύκει· 185 r.

πλὴν μικρὸν αὐτὸ καὶ γλαφυρὸν ἐποίησεν ἀντὶ φοβεροῦ· ἔτι δὲ παρώρισε τὸν κίνδυνον, εἰπών 'ξύλον ἄϊδ' ἐρύκει'· οὐκοῦν ἀπείργει. ὁ δὲ ποιητὴς οὐκ εἰς ἅπαξ παρορίζει τὸ δεινόν, ἀλλὰ τοὺς ἀεὶ καὶ μο-

1 ὅνπερ Tollius: ὅπερ P | τῶν^τον P | 2 ἀρ*ιμάσπεια P | 4 *μῖν P ἡμῖν P ἢ μὴν Faber | 5 ὕρον Tournierius de Aristea p. 28 cl. Hesych. ὕρον· σμῆνος | ν*ουσι P ναίουσι P | πελάγεσι P σ add. p | ἐνὶ P | 8 ἤπου P | 9 εὔχοντ' ἀσπλάγχνοισι Morus | 10 παντὶ* P | παντὶ μὴν Portus | ἢ δέος Victorius Toupius: ἡδέως P | ἄνθους — ἢ δέους Tollius | 13 ὑπὸ Homeri codd. | 16 τυθὸν P τ add. p | 20 ἐρύκει Manutius: ἀπείργει P | *υκοῦν P οὐκοῦν P | ἄϊδ' ἤγουν ἀπείργει Ruhnkenius | οὐκοῦν ἀπείργει del. Toupius | 21 οὐχ ὅπως Capperonnerius

2 SUIDAS Ἀριστέας Δημοχάριδος ἢ Καυστροβίου, Προκοννήσιος, ἐποποιός, τὰ ἀριμάσπεια καλούμενα ἔπη· ἔστι δὲ ἱστορία τῶν ὑπερβορέων Ἀριμασπῶν, βιβλία γʹ. DIONYSIUS HALIC. IUD. DE THUC. 23 p. 864 R. οὔθ' αἱ διασωζόμεναι (γραφαὶ) παρὰ πᾶσιν ὡς ἐκείνων οὖσαι τῶν ἀνδρῶν πιστεύονται· ἐν αἷς εἰσὶν ἥ τε Κάδμου τοῦ Μιλησίου καὶ Ἀριστέου τοῦ Προκοννησίου καὶ τῶν παραπλησίων τούτοις. | 11 HOMERUS IL. O, 624 SCHOL. πρῶτος δὲ εἶπε τὸ Ἀναχάρσιδος τοῦ Σκύθου, ὃς ἐρόμενός τινα τῶν ναυτῶν 'πόσον ἀπέχομεν τοῦ ὕδατος' καὶ μαθὼν ὡς τέσσαρας δακτύλους, 'τοσοῦτον' εἶπε 'καὶ τοῦ θανατοῦ'. καὶ Ἄρατος 'ὀλίγον δὲ διὰ ξύλον', καὶ Καλλίμαχος 'μέσον ἐπὶ ⟨μεῖστον ἐπεὶ Diltheius anal. Callim. p. 12 sqq.⟩ ναύταις'. | 14 SCHOL. IL. A 17 ὅτι ἀρσενικῶς δεινὸς ἀήτη, ἀλλ' οὐ δεινή. ἔνιοι δὲ ἀγνοοῦντες ποιοῦσι δεινὸς ἀήτης· ἀλλ' οὐ δεῖ γράφειν οὕτως. | 17 ARATUS PHAEN. 299

10 νονουχὶ κατὰ πᾶν κῦμα πολλάκις ἀπολλυμένους εἰκονογραφεῖ. καὶ
μὴν τὰς προθέσεις ἀσυνθέτους οὔσας συναναγκάσας παρὰ φύσιν καὶ
εἰς ἀλλήλας συμβιασάμενος 'ὑπὲκ θανάτοιο' τῷ μὲν συνεμπίπτοντι
πάθει τὸ ἔπος ὁμοίως ἐβασάνισεν, τῇ δὲ τοῦ ἔπους συνθλίψει τὸ
πάθος ἄκρως ἀπεπλάσατο καὶ μόνον οὐκ ἐνετύπωσε τῇ λέξει τοῦ
κινδύνου τὸ ἰδίωμα 'ὑπὲκ θανάτοιο φέρονται'. οὐκ ἄλλως ὁ 'Αρ- 7
χίλοχος ἐπὶ τοῦ ναυαγίου * * καὶ ἐπὶ τῇ προσαγγελίᾳ ὁ Δη-
μοσθένης 'ἑσπέρα μὲν γὰρ ἦν' φησίν ..... ἀλλὰ τὰς ἐξοχάς, ὡς
ἂν εἴποι τις, ἀριστίνδην ἐκκαθήραντες ἐπισυνέθηκαν, οὐδὲν φλοιῶδες
ἢ ἄσεμνον ἢ σχολικὸν ἐγκατατάττοντες διὰ μέσου. λυμαίνεται
γὰρ ταῦτα τὸ ὅλον, ὡσανεὶ ψήγματα † ἢ ἀραιώματα ἐμποιοῦντα
μεγέθη συνοικονομούμενα τῇ πρὸς ἄλληλα σχέσει συντετειχισμένα.
Σύνεδρός ἐστι ταῖς προεκκειμέναις ἀρετὴ [καὶ] ἣν καλοῦσιν 11
αὔξησιν, ὅταν δεχομένων τῶν πραγμάτων καὶ ἀγώνων κατὰ περιό-
δους ἀρχάς τε πολλὰς καὶ ἀναπαύλας, ἕτερα ἑτέροις ἐπεισκυκλού-
μενα μεγέθη συνεχῶς ἐπεισάγηται κατ' ἐπίβασιν. τοῦτο δὲ εἴτε 2
διὰ τοπηγορίαν, εἴτε δείνωσιν, ἢ πραγμάτων ἢ κατασκευῶν ἐπίρρωσιν,
185v. εἴτ' ἐποικονομίαν ἔργων ἢ παθῶν | — μυρίαι γὰρ ἰδέαι τῶν αὐξήσεων
— γίνοιτο, χρὴ γινώσκειν ὅμως τὸν ῥήτορα, ὡς οὐδὲν ἂν τούτων
καθ' αὑτὸ συσταίη χωρὶς ὕψους τέλειον, πλὴν εἰ μὴ ἐν οἴκτοις ἄρα
νὴ Δία ἢ ἐν εὐτελισμοῖς, τῶν δ' ἄλλων αὐξητικῶν ὅτου περ ἂν
τὸ ὑψηλὸν ἀφέλῃς, ὡς ψυχὴν ἐξαιρήσεις σώματος· εὐθὺς γὰρ ἀτο-
νεῖ καὶ κενοῦται τὸ ἔμπρακτον αὐτῶν μὴ τοῖς ὕψεσι συνεπιρρωννύ-
μενον. ᾗ μέντοι διαφέρει τοῦ ἀρτίως εἰρημένου τὰ νῦν παραγγελ- 3

1 ἀπολυμμένους P | 3 συμβιβασάμενος Petra | ὑπὲκ θανάτοιο del. G. S. A. class. journ. III, 5 p. 67 | 8 ἦν P ἦν corr. P | reliqua omisit scriptor | ὡς ἂν Ruhnkenius: ὡς P | 9 ἀριστ**δην P αριστίνδην P | ἐπικρίναντες Ruhnkenius ἐκλέξαντες καὶ ἐκκαθήραντες Toupius | 10 διαμέσου P | 11 ψήγματα Manutius: ψύγματα P | αι P ἢ suprascr. p | ἃ εἰς ἀραιώματα ἐμβύεται τὰ μεγέθη Ruhnkenius | ἀραρινώματα Faber παραπληρώματα Tollius | ἐμπιλοῦντα τὰ Tollius | τὰ ἐν ποιοῦντα v. d apud Toupium | τὰ ἐμποιοῦντα Toupius | τὰ ἐμποιοῦντ' ἂν Dobreeus adv. 1 p. 565 | 12 συνοικοδομούμενα Manutius | ἐμποιοῦντα μεγέθη συνοικονομούμενα del. Pearcius | τῇ τε Tollius | καὶ τῇ Faber | συνετειχι*μένα P σ add. p | 13 καὶ del. Tollius | 14 κατὰ — ἀναπαύλας del. Kayserus n. iahrb. LXX p. 292 | 16 κατὰ P | **τε P εἴτε P | 17 δείνωσιν πραγμάτων Weiskius f. | εἴτε πραγμάτων Tollius | πραγματικῶν κατασκευῶν Ruhnkenius | ἢ πραγμάτων del. Pearcius | εἴτ' ἐπίρρωσιν Spengelius | ἢ πραγμάτων — ἐπίρρωσιν del. Vaucherus | 18 οἰκονομίαν Spengelius | παθῶν γίνοιτο Weiskius | 19 γίνοιτο Morus: γίνοιντο P del. Weiskius | γινώ*κειν P σ add. p | 23 σβέννυται Ruhnkenius | χαυνοῦται Nolteius ztschr. f. alterth. wiss. 1854 p. 304 | συνέπιρρωνύμενον P | 24 διαφέρῃ P διαφέρει P

6 ARCHILOCHUS 43 B ἵστη κατ' ἤκην κύματός τε κἀνέμου. fr. 23 ψύχας ἔχοντες κυμάτων ἐν ἀγκάλαις. | 7 DEMOSTHENES DE COR. 169

λόμενα, — περιγραφὴ γάρ τις ἦν ἐκεῖνο τῶν ἄκρων λημμάτων καὶ 11
εἰς ἑνότητα σύνταξις — καὶ τίνι καθόλου τῶν αὐξήσεων παραλλάτ-
τει τὰ ὕψη, τῆς σαφηνείας αὐτῆς ἕνεκα συντόμως διοριστέον.
12 Ὁ μὲν οὖν τῶν τεχνογράφων ὅρος ἔμοιγ' οὐκ ἀρεστός. αὔξη-
σίς ἐστι, φασί, λόγος μέγεθος περιτιθεὶς τοῖς ὑποκειμένοις· δύναται
γὰρ ἀμέλει καὶ ὕψους καὶ πάθους καὶ τρόπων εἶναι κοινὸς οὗτος
ὁ ὅρος, ἐπειδὴ κἀκεῖνα τῷ λόγῳ περιτίθησι ποιόν τι μέγεθος. ἐμοὶ
δὲ φαίνεται ταῦτα ἀλλήλων παραλλάττειν, ᾗ κεῖται τὸ μὲν ὕψος
ἐν διάρματι, ἡ δ' αὔξησις καὶ ἐν πλήθει· δι' ὃ ἐκεῖνο μὲν κἂν νοή-
ματι ἑνὶ πολλάκις, ἡ δὲ πάντως μετὰ ποσότητος καὶ περιουσίας
2 τινὸς ὑφίσταται. καὶ ἔστιν ἡ αὔξησις, ὡς τύπῳ περιλαβεῖν, συμ-
πλήρωσις ἀπὸ πάντων τῶν ἐμφερομένων τοῖς πράγμασι μορίων καὶ
τόπων, ἰσχυροποιοῦσα τῇ ἐπιμονῇ τὸ κατεσκευασμένον, ταύτῃ τῆς
πίστεως διεστῶσα, ὅτι ἡ μὲν τὸ ζητούμενον ἀποδεί * *

* * πλουσιώτατα, καθάπερ τι πέλαγος, εἰς ἀναπεπταμένον 185 r.
3 κέχυται πολλαχῇ μέγεθος. ὅθεν οἶμαι κατὰ λόγον ὁ μὲν ῥήτωρ
ἅτε παθητικώτερος πολὺ τὸ διάπυρον ἔχει καὶ θυμικῶς ἐκφλεγόμε-
νον, ὁ δὲ καθεστὼς ἐν ὄγκῳ καὶ μεγαλοπρεπεῖ σεμνότητι οὐκ ἔψυ-
4 κται μέν, ἀλλ' οὐχ οὕτως ἀπαστράπτει. οὐ κατ' ἄλλα δέ τινα
ἢ ταῦτα, ἐμοὶ δοκεῖ, φίλτατε Τερεντιανέ, — λέγω δέ, εἰ καὶ ἡμῖν
ὡς Ἕλλησιν ἐφεῖταί τι γινώσκειν — καὶ ὁ Κικέρων τοῦ Δημοσθέ-
νους ἐν τοῖς μεγέθεσι παραλλάττει. ὁ μὲν γὰρ ἐν ὕψει τὸ πλέον
ἀποτόμῳ, ὁ δὲ Κικέρων ἐν χύσει, καὶ ὁ μὲν ἡμέτερος διὰ τὸ μετὰ
βίας ἕκαστα, ἔτι δὲ τάχους ῥώμης δεινότητος οἷον καίειν τε ἅμα
καὶ διαρπάζειν, σκηπτῷ τινι παρεικάζοιτ' ἂν ἢ κεραυνῷ, ὁ δὲ Κικέ-

2 παραλάττει P | 3 αὖθις Schurzfleischius | 4 ὅρος αὐξήσεως in marg. P | 7 ὁ add. Manutius: om. P | 9 διόπερ Manutius | κεῖνο P | 12 μορίων Portus: ορίων P | 14 ἀποδείκνυσι Manutius | in P desunt duo folia | 21 ἀπαστράπτει Bentleius: ἐπέστραπται P ἐπισκήπτει Vaucherus | 22 εἰ καὶ Manutius: καὶ P | 24 τίνι παραλάτει Κικέρων Δημοσθένους P in marg. | 27 ἢ κεραυνῷ del. Valckenarius ad Eurip. Hipp. 438 ἢ χειμάρρῳ Ruhnkenius

4 ANON. RHET. I p. 457 SP. αὔξησίς ἐστι λόγος μεῖζον ποιῶν φαίνεσθαι τὸ πρᾶγμα. | 22 PLUTARCHUS DEMOSTH. 2 τὸ δὲ τοὺς λόγους ⟨Δημοσθένους καὶ Κικέρωνος⟩ ἀντεξετάζειν καὶ ἀποφαίνεσθαι, πότερος ἡδίων ἢ δεινότερος εἰπεῖν, ἐάσομεν. κακεῖ γάρ, ὥς φησιν ὁ Ἴων, 'δελφῖνος ἐν χέρσῳ βία', ἣν ὁ περιττὸς ἐν ἅπασι Καικίλιος ἀγνοήσας ἐνεανιεύσατο σύγκρισιν τοῦ Δημοσθένους καὶ Κικέρωνος ἐξενεγκεῖν. ἀλλὰ γὰρ ἴσως, εἰ παντὸς ἦν τὸ γνῶθι σαυτὸν ἔχειν πρόχειρον, οὐκ ἂν ἐδόκει πρόσταγμα θεῖον εἶναι.

12 ρων ὡς ἀμφιλαφής τις ἐμπρησμὸς οἶμαι πάντη νέμεται καὶ ἀνει-
λεῖται, πολὺ ἔχων καὶ ἐπίμονον ἀεὶ τὸ καῖον καὶ διακληρονομούμε-
νον ἄλλοτ' ἀλλοίως ἐν αὐτῷ καὶ κατὰ διαδοχὰς ἀνατρεφόμενον.
ἀλλὰ ταῦτα μὲν ὑμεῖς ἂν ἄμεινον ἐπικρίνοιτε, καιρὸς δὲ τοῦ Δη- 5
μοσθενικοῦ μὲν ὕψους καὶ ὑπερτεταμένου ἔν τε ταῖς δεινώσεσι καὶ
τοῖς σφοδροῖς πάθεσι, καὶ ἔνθα δεῖ τὸν ἀκροατὴν τὸ σύνολον ἐκ-
πλῆξαι· τῆς δὲ χύσεως, ὅπου χρὴ καταντλῆσαι· τοπηγορίαις τε
γάρ καὶ ἐπιλόγοις κατὰ τὸ πλέον καὶ παραβάσεσι καὶ τοῖς φρα-
στικοῖς ἅπασι καὶ ἐπιδεικτικοῖς ἱστορίαις τε καὶ φυσιολογίαις καὶ
οὐκ ὀλίγοις ἄλλοις μέρεσιν ἁρμόδιος.

Ὅτι μέντοι ὁ Πλάτων — ἐπάνειμι γάρ — τοιούτῳ τινὶ χεύ- 13
186v. ματι ἀψοφητὶ ῥέων | οὐδὲν ἧττον μεγεθύνεται, ἀνεγνωκὼς τὰ ἐν τῇ
πολιτείᾳ [τὸν τύπον] οὐκ ἀγνοεῖς. 'οἱ ἄρα φρονήσεως' φησί 'καὶ
ἀρετῆς ἄπειροι εὐωχίαις δὲ καὶ τοῖς τοιούτοις ἀεὶ συνόντες κάτω
ὡς ἔοικε φέρονται καὶ ταύτῃ πλανῶνται διὰ βίου, πρὸς δὲ τὸ ἀλη-
θὲς ἄνω οὔτ' ἀνέβλεψαν πώποτε οὔτ' ἀνηνέχθησαν οὐδὲ βεβαίου
τε καὶ καθαρᾶς ἡδονῆς ἐγεύσαντο, ἀλλὰ βοσκημάτων δίκην κάτω
ἀεὶ βλέποντες καὶ κεκυφότες εἰς γῆν καὶ εἰς τραπέζας βόσκονται
χορταζόμενοι καὶ ὀχεύοντες, καὶ ἕνεκα τῆς τούτων πλεονεξίας
λακτίζοντες καὶ κυρίττοντες ἀλλήλους σιδηροῖς κέρασι καὶ ὁπλαῖς
ἀποκτιννύουσι δι' ἀπληστίαν'.

Ἐνδείκνυται δ' ἡμῖν οὗτος ἀνήρ, εἰ βουλοίμεθα μὴ κατολιγω- 2
ρεῖν, ὡς καὶ ἄλλη τις παρὰ τὰ εἰρημένα ὁδὸς ἐπὶ τὰ ὑψηλὰ τείνει.
ποία δὲ καὶ τίς αὕτη; ἡ τῶν ἔμπροσθεν μεγάλων συγγραφέων καὶ
ποιητῶν μίμησίς τε καὶ ζήλωσις. καί γε τούτου, φίλτατε, ἀπρὶξ
ἐχώμεθα τοῦ σκοποῦ· πολλοὶ γὰρ ἀλλοτρίῳ θεοφοροῦνται πνεύματι

1 ἐμπρισμὸς P ἐμπρησμὸς P | 2 διακληρονομ**μενον P διακληρονομούμενον P | 4 δημο*σθενικοῦ P δημοσθενικοῦ P | 6 ἀκρ*άτην P ἀκροάτην P | 7 αὕτη γάρ Tollius | 8 ἀπολόγοις ς | ἐκφραστικοῖς Capperonnerius | 10 ἁρμόδι*ς P ἁρμόδιος P | 11 ῥεύματι Gennadius | 13 πολ**τείαι P πολιτείαι P | τὸν τύπον del. Faber [τὸν τόπον] Vaucherus | 15 ὡς ἔοικε καὶ μέχρι πάλιν πρὸς τὸ μεταξὺ φέρονταί τε καὶ — βίου ὑπερβάντες δὲ τοῦτο πρὸς τὸ ἀληθῶς ἄνω — ἠνέχθησαν, οὐδὲ τοῦ ὄντος τῷ ὄντι ἐπληρώθησαν, οὐδὲ βεβαίου codd. Platonis | 20 ἀλλήλους codd. Platonis: ἀλλήλοις P | 22 ἀνὴρ P | 24 ἡ add. Manutius: om. P. | 25 καὶ τούτου γε Manutius | φιλ*τατε P | 26 ἐχόμεθα P ἐχώμεθα P

5 CICERO ORAT. 70, 234 cuius ⟨Demosthenis⟩ non tam vibrarent fulmina illa, nisi numeris contorta fuissent. | 7 PLATO REP. I p. 344 D ταῦτα εἰπὼν ὁ Θρασύμαχος ἐν νῷ εἶχεν ἀπιέναι, ὥσπερ βαλανεὺς ἡμῶν καταντλήσας κατὰ τῶν ὤτων ἀθρόον καὶ πολὺν τὸν λόγον. | 14 PLATO THEAETET. p. 144 B οἷον ἐλαίου ῥεῦμα ἀψοφητὶ ῥέοντος. | PLATO REP. IX p. 586 A

τὸν αὐτὸν τρόπον, ὃν καὶ τὴν Πυθίαν λόγος ἔχει τρίποδι πλησιά- 13
ζουσαν, ἔνθα ῥῆγμά ἐστι γῆς ἀναπνεῖν, ὥς φασιν, ἀτμὸν ἔνθεον,
αὐτόθεν ἐγκύμονα τῆς δαιμονίου καθισταμένην δυνάμεως παραυτίκα
χρησμῳδεῖν κατ' ἐπίπνοιαν. οὕτως ἀπὸ τῆς τῶν ἀρχαίων μεγαλο-
φυΐας εἰς τὰς τῶν ζηλούντων ἐκείνους ψυχάς, ὡς ἀπὸ ἱερῶν στο-
μίων, ἀπόρροιαί τινες φέρονται, ὑφ' ὧν ἐπι|πνεόμενοι καὶ οἱ μὴ λίαν 187 r.
3 φοιβαστικοὶ τῷ ἑτέρων συνενθουσιῶσι μεγέθει. ἢ μόνος Ἡρόδοτος
ὁμηρικώτατος ἐγένετο; Στησίχορος ἔτι πρότερον ὅ τε Ἀρχίλοχος,
πάντων δὲ τούτων μάλιστα ὁ Πλάτων ἀπὸ τοῦ ὁμηρικοῦ κείνου
νάματος εἰς αὐτὸν μυρίας ὅσας παρατροπὰς ἀποχετευσάμενος. καὶ
ἴσως ἡμῖν ἀποδείξεων ἔδει, εἰ μὴ τὰ ἐπ' εἴδους καὶ οἱ περὶ Ἀμ-
4 μώνιον ἐκλέξαντες ἀνέγραψαν. ἔστι δ' οὐ κλοπὴ τὸ πρᾶγμα, ἀλλ'
ὡς ἀπὸ καλῶν εἰδῶν ἢ πλασμάτων [ἢ δημιουργημάτων] ἀποτύπω-
σις. καὶ οὐδ' ἂν ἐπακμάσαι μοι δοκεῖ τηλικαῦτά τινα τοῖς τῆς
φιλοσοφίας δόγμασι καὶ εἰς ποιητικὰς ὕλας πολλαχοῦ συνεμβῆ-
ναι καὶ φράσεις, εἰ μὴ περὶ πρωτείων νὴ Δία παντὶ θυμῷ πρὸς
Ὅμηρον, ὡς ἀνταγωνιστὴς νέος πρὸς ἤδη τεθαυμασμένον, ἴσως μὲν
φιλονεικότερον καὶ οἱονεὶ διαδορατιζόμενος, οὐκ ἀνωφελῶς δ' ὅμως
διηριστεύετο. 'ἀγαθὴ' γὰρ κατὰ τὸν Ἡσίοδον 'ἔρις ἥδε βροτοῖσι'. καὶ
τῷ ὄντι καλὸς οὗτος καὶ ἀξιονικότατος εὐκλείας ἀγών τε καὶ στέ-
φανος, ἐν ᾧ καὶ τὸ ἡττᾶσθαι τῶν προγενεστέρων οὐκ ἄδοξον.

14 Οὐκοῦν καὶ ἡμᾶς, ἡνίκ' ἂν διαπονῶμεν ὑψηγορίας τι καὶ με-
γαλοφροσύνης δεόμενον, καλὸν ἀναπλάττεσθαι ταῖς ψυχαῖς, πῶς
ἂν εἰ τύχοι ταὐτὸ τοῦθ' Ὅμηρος εἶπεν, πῶς δ' ἂν Πλάτων ἢ Δη-
μοσθένης ὕψωσαν ἢ ἐν ἱστορίᾳ Θουκυδίδης. προσπίπτοντα γὰρ

2 ἔνθα — ἔνθεον del. Reiskius | ἀναπνέον Manutius | 3 καὶ ἐγκύμονα Manutius | 7 ἢ μόνος Morus: μόνος P τί; μόνος Toupius μῶν μόνος Schurzfleischius οὐ γὰρ μόνος Tollius | ὁ μὲν Ἡρόδοτος — Στησίχορος δὲ Faber | 8 ὅ τε Manutius: ὅ γε P καὶ Robortellus | 10 αὐτὸν Manutius: αὐτόν P | παρατροπὰς φαίνεται Reiskius | 11 ἡμῖν ἂν G. S. A. class. iourn. III, 5 p. 67 | ἐπ' εἴδους Faber: ἐπ' ἰνδοὺς P ἐπὶ μέρους Reiskius | 12 πρᾶγμα ἄ|λως Seagerus class. journ. XXIII, 46 p. 318 | 13 εἰδῶν Tollius: ἠθῶν P | 14 ἐμβιβάσαι Manutius ἐπιπάσαι Morus ἐποχμάσαι Reiskius ἐγκαταμίξαι Toupius | τοῖς om. P add. p 20 ἀξιονικό*τατος P ἀξιονεικότατος G. S. A. class. journ. III, 5 p. 67 | 25 ὕψωσεν Pearcius | προσπίπτοντα Manutius: προπίπτοντα P

2 POLLUX I, 15 εἰ δὲ ποῦ καὶ πνεῦμα εἴη μαντικόν, — τὸ δὲ πνεῦμα εἴποις ἂν καὶ ἄτμον μαντικόν. | 12 SCHOL. A HOMERI IL. I, 540 ἔρδεσκεν· Ἀμμώνιος ἐν τῷ περὶ τῶν ὑπὸ Πλάτωνος μετενηνεγμένων διὰ τοῦ ζ προφέρεται ἔρεζεν. SUIDAS Ἀμμώνιος Ἀμμωνίου Ἀλεξανδρεύς, Ἀλεξάνδρου γνώριμος, ὃς καὶ διεδέξατο τὴν σχολὴν Ἀριστάρχου πρὸ τοῦ μοναρχῆσαι τὸν Αὔγουστον. | 19 HESIODUS ORP. 14

14 ἡμῖν κατὰ ζῆλον ἐκεῖνα τὰ πρόσωπα καὶ οἷον| διαπρέποντα, τὰς
187v. ψυχὰς ἀνοίσει πως πρὸς τὰ ἀνειδωλοποιούμενα μέτρα· ἔτι δὲ μᾶλ- 2
λον, εἰ κἀκεῖνο τῇ διανοίᾳ προσυπογράφοιμεν, πῶς ἂν τόδε τι ὑπ᾽
ἐμοῦ λεγόμενον παρὼν Ὅμηρος ἤκουσεν ἢ Δημοσθένης, ἢ πῶς ἂν
ἐπὶ τούτῳ διετέθησαν· τῷ γὰρ ὄντι μέγα τὸ ἀγώνισμα, τοιοῦτον
ὑποτίθεσθαι τῶν ἰδίων λόγων δικαστήριον καὶ θέατρον καὶ ἐν τηλι-
κούτοις ἥρωσι κριταῖς τε καὶ μάρτυσιν ὑπέχειν τῶν γραφομένων
εὐθύνας †πεπαῖχθαι. πλέον δὲ τούτων παρορμητικόν, εἰ προστιθείης, 3
πῶς ἂν ἐμοῦ ταῦτα γράψαντος ὁ μετ᾽ ἐμὲ πᾶς ἀκούσειεν αἰών; εἰ
δέ τις αὐτόθεν φοβοῖτο, μὴ τοῦ ἰδίου βίου καὶ χρόνου φθέγξαιτό
τι ὑπερήμερον, ἀνάγκη καὶ τὰ συλλαμβανόμενα ὑπὸ τῆς τούτου
ψυχῆς ἀτελῆ καὶ τυφλὰ ὥσπερ ἀμβλοῦσθαι, πρὸς τὸν τῆς ὑστερο-
φημίας ὅλως μὴ τελεσφορούμενα χρόνον.

Ὄγκου καὶ μεγαληγορίας καὶ ἀγῶνος ἐπὶ τούτοις, ὦ Τερεντιανέ, 15
καὶ αἱ φαντασίαι παρασκευαστικώταται· οὕτω γοῦν εἰδωλοποιΐας
αὐτὰς ἔνιοι λέγουσι. καλεῖται μὲν γὰρ κοινῶς φαντασία πᾶν τὸ
ὁπωσοῦν ἐννόημα γεννητικὸν λόγου παριστάμενον· ἤδη δ᾽ ἐπὶ τού-
των κεκράτηκε τοὔνομα, ὅταν ἃ λέγεις ὑπ᾽ ἐνθουσιασμοῦ καὶ πά-

1 διατρέποντα Reiskius | 2 μετέωρα Langbainius | 3 τόδε τὸ Morus | 5 τοῦτο P τούτω P | 8 πεπ**χθαι P πεπαῖχθαι P om. Robortellus asterisco posito, del. Spengelius τετάχθαι Morus πεπεῖσθαι Reiskius προσῆχθαι Weiskius f. καὶ μὴ παῖξαι Manutius καὶ μὴ πταῖσαι Langbainius | 10 οὐ φθέγξαιτο Pearcius | 13 ὅλης Manutius ὅλον G. S. A. class. journ. III, 5 p. 67 | 14 ὦ Τερεντιανὲ Schurzfleischius: ὦ νεανία P ὦ γενναῖε Steinheilius | 15 τὰς εἰδωλοποιΐας Dobreeus adv. I p. 565 εἰδωλοποιοὺς Reiskius | 16 αὐτὰς del. Morus 17 ἐννοήματι Spengelius | ἰδίως δ᾽ Manutius | 18 λέγεις Spengelius: λέγης P

15 QUINTILIANUS VI, 2, 29 quas φαντασίας Graeci vocant, nos sane visiones appellemus, per quas imagines rerum absentium ita repraesententur animo, ut eas cernere oculis ac praesentes habere videamur. has quisquis bene conceperit, is erit in affectibus potentissimus. hunc quidam dicunt εὐφαντασίωτον. cf. XII, 10, 6 concipiendis visionibus, quas φαντασίας vocant, Theon Samius praestantissimus. | HERMOGENES PROGYMN. 9 εἰδωλοποιίαν δέ φασιν ἐκεῖνο, ὅταν τοῖς τεθνεῶσι λόγους περιάπτωμεν. APHTHON. PROGYMN. 11 εἰδωλοποιία δὲ ⟨ἠθοποιία⟩ ἡ πρόσωπον μὲν ἔχουσα γνώριμον τεθνεὸς δὲ καὶ τοῦ λέγειν παυσάμενον· ὡς ἐν Δήμοις Εὔπολις ἔπλασεν καὶ Ἀριστείδης ἐν τῷ ὑπὲρ τῶν τεσσάρων· ὅθεν καὶ εἰδωλοποιία προσαγορεύεται. cf PLATONIUS DE CHAR. 2 Εὔπολις δὲ εὐφάνταστος μὲν εἰς ὑπερβολήν ἐστι κατὰ τὰς ὑποθέσεις. τὰς γὰρ εἰσηγήσεις μεγάλας τῶν δραμάτων ποιεῖται καὶ ἥνπερ ἐν τῇ παραβάσει φαντασίαν κινοῦσιν οἱ λοιποί, ταύτην ἐκεῖνος ἐν τοῖς δράμασιν, ἀναγεῖν ἱκανὸς ὢν ἐξ Ἅιδου νομοθετῶν πρόσωπα καὶ δι᾽ αὐτῶν εἰσηγούμενος ἢ περὶ θέσεως νόμων ἢ καταλύσεως.

2 θους βλέπειν δοκῇς καὶ ὑπ' ὄψιν τιθῇς τοῖς ἀκούουσιν. ὡς δ' ἕτε- 15
ρόν τι ἡ ῥητορικὴ φαντασία βούλεται καὶ ἕτερον ἡ παρὰ ποιηταῖς,
οὐκ ἂν λάθοι σε, οὐδ' ὅτι τῆς | μὲν ἐν ποιήσει τέλος ἐστὶν ἔκπληξις, 188 r.
τῆς δ' ἐν λόγοις ἐνάργεια, ἀμφότεραι δ' ὅμως τό τε * ἐπιζητοῦσι καὶ
τὸ συγκεκινημένον.

ὦ μῆτερ ἱκετεύω σε, μὴ 'πίσειέ μοι
τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας·
αὗται γάρ, αὗται πλησίον θρώσκουσί μου.

καὶ

οἴ μοι, κτανεῖ με· ποῖ φύγω;

ἐνταῦθ' ὁ ποιητὴς αὐτὸς εἶδεν Ἐρινύας· ὃ δ' ἐφαντάσθη, μικροῦ δεῖν
3 θεάσασθαι καὶ τοὺς ἀκούοντας ἠνάγκασεν. ἔστι μὲν οὖν φιλοπο-
νώτατος ὁ Εὐριπίδης δύο ταυτὶ πάθη, μανίας τε καὶ ἔρωτας, ἐκ-
τραγῳδῆσαι κἀν τούτοις, ὡς οὐκ οἶδ' εἴ τισιν ἑτέροις, ἐπιτυχέστα-
τος, οὐ μὴν ἀλλὰ καὶ ταῖς ἄλλαις ἐπιτίθεσθαι φαντασίαις οὐκ
ἄτολμος. ἥκιστά γέ τοι μεγαλοφυὴς ὢν ὅμως τὴν αὐτὸς αὑτοῦ
φύσιν ἐν πολλοῖς γενέσθαι τραγικὴν προσηνάγκασε καὶ παρ' ἕκαστα
ἐπὶ τῶν μεγεθῶν, ὡς ὁ ποιητής,

οὐρῇ δὲ πλευράς τε καὶ ἰσχίον ἀμφοτέρωθεν
μαστίεται, ἓὲ δ' αὐτὸν ἐποτρύνει μαχέσασθαι.

4 τῷ γοῦν Φαέθοντι παραδιδοὺς τὰς ἡνίας ὁ Ἥλιος

ἔλα δὲ μήτε λιβυκὸν αἰθέρ' εἰσβαλών·
κρᾶσιν γὰρ ὑγρὰν οὐκ ἔχων ἁψῖδα σὴν
κάτω διήσει

φησίν, εἶθ' ἑξῆς,

ἵει δ' ἐφ' ἑπτὰ Πλειάδων ἔχων δρόμον.
. . . . . . . .
τοσαῦτ' ἀκούσας εἶτ' ἔμαρψεν ἡνίας·
κρούσας δὲ πλευρὰ πτεροφόρων ὀχημάτων

2 ἣ πασὰ P | 3 λάθοι* P | ἐμποιήσει P | ἔμπληξις Robortellus | 4 τό τ' ἔνθεον Morus ταὐτὸν Toupius ταὐτὸ τοῦτ' Weiskius τοῦτο τε Gennadius τό τε παθητικὸν Kayserus n. iahrb. LXX p. 293 | 11 οὐκ εἶδεν Manutius | ὃ δ' Manutius: ὁ δὲ P | 14 εἴ τις ἕτερος Stanleius in vita Aesch. p. 64 Butl. | ἑτέ*ροις P | 18 ἐπὶ del. Morus ἔστι Vaucherus | 19 ἰσχία codd. Homeri | 20 ἓὲ codd. Homeri: ἑ P | μαχέσασθαι codd. Homeri: μάχεσθαι P | 23 ἁψῖδα σὴν Faber: ἁψίδας ἣν P | 24 διήσει Faber: δίεισι P | post 26 quaedam omisit scriptor | 27 τοσαῦ* P τ add. p | εἶτ' ἔμαρψεν Manutius: τίς ἔμαρψεν P παῖς ἔμαρψεν Grotius χέρσ' ἔμαρψεν Salmasius exerc. Plin. p. 630 τὰς ἔμαρψεν G. S. A. class. journ. III, 5 p. 67 | 29 πλευρὰν Robortellus

6 EURIPIDES OREST. 241 | 10 IPHIG. TAUR. 291 | 18 HOMERUS IL. Υ, 170 | 21 EURIPIDES PHAETH.

15 μεθῆκεν, αἱ δ' ἔπταντ' ἐπ' αἰθέρος πτύχας.
πατὴρ δ' ὄπισθε νῶτα σειραίου βεβὼς
ἵππευε παῖδα νουθετῶν· ἐκεῖσ' ἔλα,
τῇδε στρέφ' ἅρμα, τῇδε.

188v. ἆρ' οὐκ ἂν εἴποις, ὅτι ἡ ψυχὴ τοῦ γράφοντος συνεπιβαίνει τοῦ ἅρματος καὶ συγκινδυνεύουσα τοῖς ἵπποις συνεπτέρωται; οὐ γὰρ ἄν, εἰ μὴ τοῖς οὐρανίοις ἐκείνοις ἔργοις ἰσοδρομοῦσα ἐφέρετο, τοιαῦτ' ἄν ποτε ἐφαντάσθη. ὅμοια καὶ τὰ ἐπὶ τῆς Κασσάνδρας αὐτῷ

ἀλλ', ὦ φίλιπποι Τρῶες .....

τοῦ δ' Αἰσχύλου φαντασίαις ἐπιτολμῶντος ἡρωϊκωτάταις, ὥσπερ οἱ ἑπτὰ ἐπὶ Θήβας παρ' αὐτῷ — 'ἄνδρες' φησίν 5

'ἑπτὰ θούριοι λοχαγέται,
ταυροσφαγοῦντες εἰς μελάνδετον σάκος
καὶ θιγγάνοντες χερσὶ ταυρείου φόνου
Ἄρην τ' Ἐνυὼ καὶ φιλαίματον Φόβον
ὁρκωμότησαν' —

τὸν ἴδιον αὐτῶν πρὸς ἀλλήλους δίχα οἴκτου συνομνύμενοι θάνατον, ἐνίοτε μέντοι ἀκατεργάστους καὶ οἱονεὶ ποκοειδεῖς τὰς ἐννοίας καὶ ἀμαλάκτους φέροντος, ὅμως ἑαυτὸν ὁ Εὐριπίδης κἀκείνοις ὑπὸ φιλοτιμίας 6
τοῖς κινδύνοις προσβιβάζει. καὶ παρὰ μὲν Αἰσχύλῳ παραδόξως τὰ τοῦ Λυκούργου βασίλεια κατὰ τὴν ἐπιφάνειαν τοῦ Διονύσου θεοφορεῖται

ἐνθουσιᾷ δὴ δῶμα, βακχεύει στέγη·

ὁ δ' Εὐριπίδης τὸ αὐτὸ τοῦθ' ἑτέρως ἐφηδύνας ἐξεφώνησε

πᾶν δὲ συνεβάκχευ' ὄρος.

ἄκρως δὲ καὶ ὁ Σοφοκλῆς ἐπὶ τοῦ θνήσκοντος Οἰδίπου καὶ ἑαυτὸν μετὰ διοσημείας τινὸς θάπτοντος πεφάντασται, καὶ κατὰ τὸν ἀπό- 7
πλουν τῶν Ἑλλήνων ἐπὶ τοῦ Ἀχιλλέως προφαινομένου τοῖς ἀναγο-

1 ἔπταντο P | 2 ὄπισθεν ὦτα P | 2 σειραίου Rutgersius var. lect. I, 10: σειρίος P | σείρι' ἐμβεβὼς Ravius de Eurip. Phaet. p. 37 | 3 ἔλα τῇδε στρέφ' Portus: ἐλατῆρα ἔστρεφ' P ἔλα, τήρει, στρέφ' Bergkius de rell. com. att. ant. p. 397 ἔλα στρέφ' Hartungus Eurip. restit. II p. 202 | 6 συ*κινδυνεύουσα P συγκινδυνεύουσα P | ἀνεπτέρωται Schaeferus | 9 reliqua omisit scriptor | 10 οἱ Manutius: καὶ P | 14 θιγγανοντισχερσι P ο corr. in ω | 17 αὐτῶν P | 18 ἀμαλάκτους φέροντος Manutius: ἀναλλάκτους φέροντας P | 19 φιλ**μίας P φιλοτιμίας P | αἰ*σχύλῳ P | 21 θεοφ*ρεῖται P θεοφορεῖται P | 24 συνεβάκχευ' Porsonus advers. p. 266: συνεβάκχευεν P συνεβάκχευσ' codd. Euripidis | 25 οἰδ**που P οἰδίπου P | 26 μεταξὺ Reiskius | 27 ἐπὶ τοῦ Ἀχιλλέως scripsi: ἔπειτ' Ἀχιλλέως P ἐπί τ' Ἀχιλλέως Tollius

11 AESCHYLUS SEPT. 42 | 17 SEPT. 51 οἶκτος δ' οὔτις ἦν διὰ στόμα | 20 AESCHYLUS LYCURGIA | 23 EURIPIDES BACCH. 726 (716) | 25 SOPHOCLES OEDIP. COL. 1586 | 27 PORPHYRIUS (IOANN. STOB. ECL. 1, 41, 50) Σοφοκλῆς ἐν Πολυξένῃ τὴν ⟨om. codd.⟩ τοῦ Ἀχιλλέως ψυχὴν εἰσάγει.

μένοις ὑπὲρ τοῦ τάφου, ἣν οὐκ οἶδ' εἴ τις ὄψιν ἐναργέστερον εἰδω- 15
8 λοποίησε Σιμωνίδου· πάντα δ' ἀμήχανον παρατίθεσθαι. οὐ μὴν
ἀλλὰ τὰ μὲν παρὰ τοῖς ποιηταῖς μυθικωτέ|ραν ἔχει τὴν ὑπερέκ- 189 r.
πτωσιν, ὡς ἔφην, καὶ πάντη τὸ πιστὸν ὑπεραίρουσαν, τῆς δὲ ῥητο- Κζ
ρικῆς φαντασίας κάλλιστον ἀεὶ τὸ ἔμπρακτον καὶ ἐνάληθες. δειναὶ
δὲ καὶ ἔκφυλοι αἱ παραβάσεις, ἡνίκ' ἂν ᾖ ποιητικὸν τοῦ λόγου καὶ
μυθῶδες τὸ πλάσμα καὶ εἰς πᾶν προσεκπίπτον τὸ ἀδύνατον, ὡς ἤδη
νὴ Δία καὶ οἱ καθ' ἡμᾶς δεινοὶ ῥήτορες, καθάπερ οἱ τραγῳδοί, βλέ-
πουσιν Ἐρινύας καὶ οὐδὲ ἐκεῖνο μαθεῖν οἱ γενναῖοι δύνανται, ὅτι ὁ
λέγων [Ὀρέστης]

> μέθες, μί' οὖσα τῶν ἐμῶν Ἐρινύων·
> μέσον μ' ὀχμάζεις, ὡς βάλῃς ἐς τάρταρον

9 φαντάζεται ταῦθ' ὅτι μαίνεται. τί οὖν ἡ ῥητορικὴ φαντασία δύ-
ναται; πολλὰ μὲν ἴσως καὶ ἄλλα τοῖς λόγοις ἐναγώνια καὶ ἐμ-
παθῆ προσεισφέρειν, κατακιρναμένη μέντοι ταῖς πραγματικαῖς ἐπι-
χειρήσεσιν οὐ πείθει τὸν ἀκροατὴν μόνον, ἀλλὰ καὶ δουλοῦται. 'καὶ
μὴν εἴ τις' φησίν 'αὐτίκα δὴ μάλα κραυγῆς ἀκούσειε πρὸ τῶν δι-
καστηρίων, εἶτ' εἴποι τις, ὡς ἀνέῳκται τὸ δεσμωτήριον, οἱ δὲ δεσμῶ-
ται φεύγουσιν, οὐθεὶς οὕτως οὔτε γέρων οὔτε νέος ὀλίγωρός ἐστιν, ὃς
οὐχὶ βοηθήσει καθ' ὅσον δύναται· εἰ δὲ δή τις εἴποι παρελθών, ὡς
ὁ τούτους ἀφεὶς οὗτός ἐστιν, οὐδὲ λόγου τυχὼν παραυτίκ' ἂν ἀπό-
10 λοιτο'. ὡς νὴ Δία καὶ ὁ Ὑπερίδης κατηγορούμενος, ἐπειδὴ τοὺς
δούλους μετὰ τὴν ἧτταν ἐλευθέρους ἐψηφίσατο, 'τοῦτο τὸ ψήφισμα'
εἶπεν 'οὐχ ὁ ῥήτωρ ἔγραψεν, ἀλλ' ἡ ἐν Χαιρωνείᾳ μάχη'. ἅμα
γὰρ τῷ πραγματικῶς ἐπιχειρεῖν ὁ ῥήτωρ πεφάντασται, διὸ καὶ τὸν

6 παρεκβάσεις Petra ὑπερβάσεις Faber | τὸ τοῦ λόγου Manutius | 7 προεκπίπτον Morus | ἀδύνατον Manutius: δυνατον P | 12 τάρρον P τα add. p | 17 τις om. codd. Demosthenis | κραυγὴν ἀκούσαιτε πρὸς τῷ δικαστηρίῳ codd. Demosthenis | 19 οὐδεὶς οὔτε γέρων οὔτ' ὀλίγωρος οὕτως ἐστίν, ὅστις οὐχὶ βοηθήσειεν ἂν codd. Demosthenis | 21 ἀφιείς ἐστιν οὑτοσί codd. Demosthenis | εὐθὺς ἂν ἀπαχθεὶς θανάτῳ ζημιωθείη codd. Demosthenis | 24 χ**ρωνείᾳ P χαιρωνείᾳ P | 25 πραγματικῶς Morus: πραγματικῷ P | τῷ ἐπιχειρεῖν Reiskius

10 EURIPIDES OREST. 264 | 16 DEMOSTHENES c. TIMOCRAT. 208 | 22 [PLUTARCHUS] V. DEC. ORR. p. 849 A κριθεὶς δὲ ⟨Ὑπερείδης⟩ ὑπὸ τοῦ Ἀριστογείτονος παρανόμων ἐπὶ τῷ γράψαι μετὰ Χαιρώνειαν τοὺς μετοίκους πολίτας ποιήσασθαι, τοὺς δὲ δούλους ἐλευθέρους, ἱερὰ δὲ καὶ παῖδας καὶ γυναῖκας εἰς τὸν Πειραιᾶ ἀποθέσθαι, ἀπέφυγεν. αἰτιωμένων δέ τινων αὐτὸν ὡς παριδόντα πολλοὺς νόμους ἐν τῷ ψηφίσματι, 'ἐπισκότει' ἔφη 'μοι τὰ Μακεδόνων ὅπλα' καὶ 'οὐκ ἐγὼ τὸ ψήφισμα ἔγραψα, ἡ δ' ἐν Χαιρωνείᾳ μάχη'.

τοῦ πείθειν ὅρον ὑπερβέβηκε τῷ λήμματι. φύσει δέ πως ἐν τοῖς 11
τοιούτοις ἅπασιν ἀεὶ τοῦ κρείττονος ἀκούομεν, ὅθεν ἀπὸ τοῦ ἀπο-
δεικτικοῦ περιελκόμεθα εἰς τὸ κατὰ φαντασίαν ἐκπληκτικόν, ᾧ τὸ
πραγματικὸν ἐγκρύπτεται περιλαμπόμενον. καὶ τοῦτ' οὐκ ἀπεικότως
πάσχομεν· δυεῖν γὰρ συνταττομένων ὑφ' ἓν ἀεὶ τὸ κρεῖττον εἰς
ἑαυτὸ τὴν θατέρου δύναμιν περισπᾷ.

Τοσαῦτα περὶ τῶν κατὰ τὰς νοήσεις ὑψηλῶν καὶ ὑπὸ μεγα- 12
λοφροσύνης μιμήσεως ἢ φαντασίας ἀπογεννωμένων ἀρκέσει.

Αὐτόθι μέντοι καὶ ὁ περὶ σχημάτων ἐφεξῆς τέτακται τόπος· 16
καὶ γὰρ ταῦτ', ἂν ὃν δεῖ σκευάζηται τρόπον, ὡς ἔφην, οὐκ ἂν ἡ
τυχοῦσα μεγέθους εἴη μερίς. οὐ μὴν ἀλλ' ἐπεὶ τὸ πάντα διακρι-
βοῦν πολύεργον ἐν τῷ παρόντι, μᾶλλον δ' ἀπεριόριστον, ὀλίγα τῶν
ὅσα μεγαληγορίας ἀποτελεστικὰ τοῦ πιστώσασθαι τὸ προκείμενον
ἕνεκα καὶ δὴ διέξιμεν. ἀπόδειξιν ὁ Δημοσθένης ὑπὲρ τῶν πεπολι- 2
τευμένων εἰσφέρει. τίς δ' ἦν ἡ κατὰ φύσιν χρῆσις αὐτῆς; 'οὐχ
ἡμάρτετε, ὦ τὸν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἀγῶνα ἀράμενοι·
ἔχετε δὲ οἰκεῖα τούτου παραδείγματα· οὐδὲ γὰρ οἱ ἐν Μαραθῶνι
ἥμαρτον οὐδ' οἱ ἐν Σαλαμῖνι οὐδ' οἱ ἐν Πλαταιαῖς'. ἀλλ' ἐπειδὴ
καθάπερ ἐμπνευσθεὶς ἐξαίφνης ὑπὸ θεοῦ καὶ οἱονεὶ φοιβόληπτος γε-
νόμενος τὸν τῶν ἀριστέων τῆς Ἑλλάδος ὅρκον ἐξεφώνησεν 'οὐκ ἔστιν
ὅπως ἡμάρτετε, μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας', φαίνεται
190 r. δι' ἑ|νὸς τοῦ ὀμοτικοῦ σχήματος, ὅπερ ἐνθάδε ἀποστροφὴν ἐγὼ

1 ὑπερβέβηκε* P | 7 καὶ del. Morus | 8 μιμήσεως 'deest duorum quae capp. 10. 11 exposuit mentio' Spengelius | 9 περὶ σχημάτων P in marg. ἐμφερής Manutius | 14 διέξ*μεν P διέξιμεν P | 20 τὸν κατὰ τῶν Toupius | 21 ἥμαρτε P | 22 ἀποστροφή P in marg.

9 **QUINTILIANUS IX, 3, 89** haec omnia ⟨de figuris verborum et sententiarum⟩ copiosius sunt exsecuti qui non ut partem operis transcurrerunt, sed proprie libros huic operi dedicaverunt sicut Caecilius Dionysius Rutilius Cornificius Visellius aliique non pauci. | 14 **DEMOSTHENES DE COR. 208** ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστιν ὅπως ἡμάρτετε, ἄνδρες Ἀθηναῖοι, τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἀράμενοι, μὰ τοὺς Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους καὶ τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας καὶ τοὺς ἐπ' Ἀρτεμισίῳ καὶ πολλοὺς ἑτέρους τοὺς ἐν τοῖς δημοσίοις μνήμασι κειμένους ἀγαθοὺς ἄνδρας, οὓς ἅπαντας ὁμοίως ἡ πόλις τῆς αὐτῆς ἀξιώσασα τιμῆς ἔθαψεν, Αἰσχίνη, οὐχὶ τοὺς κατορθώσαντας αὐτῶν οὐδὲ τοὺς κρατήσαντας μόνους. | 22 **QUINTILIANUS IX, 2, 38** aversus quoque a iudice sermo, qui dicitur ἀποστροφή, mire movet, sive adversarios invadimus, sive ad invocationem aliquam convertimur, sive ad invidiosam implorationem.

καλῶ, τοὺς μὲν προγόνους ἀποθεώσας, ὅτι δεῖ τοὺς οὕτως ἀποθα- 16
νόντας ὡς θεοὺς ὀμνύναι παριστάνων, τοῖς δὲ κρίνουσι τὸ τῶν ἐκεῖ
προκινδυνευσάντων ἐντιθεὶς φρόνημα, τὴν δὲ τῆς ἀποδείξεως φύσιν
μεθεστακὼς εἰς ὑπερβάλλον ὕψος καὶ πάθος καὶ ξένων καὶ ὑπερ-
φυῶν ὅρκων ἀξιοπιστίαν, καὶ ἅμα παιώνειόν τινα καὶ ἀλεξιφάρμα-
κον εἰς τὰς ψυχὰς τῶν ἀκουόντων καθιεὶς λόγον, ὡς κουφιζομένους
ὑπὸ τῶν ἐγκωμίων μηδὲν ἔλαττον τῇ μάχῃ τῇ πρὸς Φίλιππον ἢ
ἐπὶ τοῖς κατὰ Μαραθῶνα καὶ Σαλαμῖνα νικητηρίοις παρίστασθαι φρο-
νεῖν· οἷς πᾶσι τοὺς ἀκροατὰς διὰ τοῦ σχηματισμοῦ συναρπάσας
ᾤχετο. καίτοι παρὰ τῷ Εὐπόλιδι τοῦ ὅρκου τὸ σπέρμα φασὶν
3 εὑρῆσθαι

οὐ γὰρ μὰ τὴν Μαραθῶνι τὴν ἐμὴν μάχην,
χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.

ἔστι δ' οὐ τὸ ὁπωσοῦν τινὰ ὀμόσαι μέγα, τὸ δὲ ποῦ καὶ πῶς καὶ
ἐφ' ὧν καιρῶν καὶ τίνος ἕνεκα. ἀλλ' ἐκεῖ μὲν οὐδέν ἐστ' εἰ μὴ
ὅρκος, καὶ πρὸς εὐτυχοῦντας ἔτι καὶ οὐ δεομένους παρηγορίας τοὺς
Ἀθηναίους· ἔτι δ' οὐχὶ τοὺς ἄνδρας ἀπαθανατίσας ὁ ποιητὴς ὤμοσεν,
ἵνα τῆς ἐκείνων ἀρετῆς τοῖς ἀκούουσιν ἐντέκῃ λόγον ἄξιον, ἀλλ' ἀπὸ
τῶν προκινδυνευσάντων ἐπὶ τὸ ἄψυχον ἀπεπλανήθη, τὴν μάχην.
παρὰ δὲ τῷ Δημοσθένει πεπραγμάτευται πρὸς ἡττημένους ὁ ὅρκος,
ὡς μὴ Χαιρώνειαν ἔτ' Ἀθηναίοις ἀτύχημα φαίνεσθαι, καὶ | ταὐτόν, 190v.
ὡς ἔφην, ἅμα ἀπόδειξίς ἐστι τοῦ μηδὲν ἡμαρτηκέναι, παράδειγμα,
4 ὅρκων πίστις, ἐγκώμιον προτροπή, κἀπειδήπερ ὑπήντα τῷ ῥήτορι
'λέγεις ἧτταν πολιτευσάμενος, εἶτα νίκας ὀμνύεις'; διὰ ταῦθ' ἑξῆς
κανονίζει καὶ δι' ἀσφαλείας ἄγει καὶ ὀνόματα, διδάσκων ὅτι κἀν
βακχεύμασι νήφειν ἀναγκαῖον. 'τοὺς προκινδυνεύσαντας' φησί 'Μα-
ραθῶνι καὶ τοὺς Σαλαμῖνι καὶ ἐπ' Ἀρτεμισίῳ ναυμαχήσαντας, καὶ
τοὺς ἐν Πλαταιαῖς παραταξαμένους'. οὐδαμοῦ 'νικήσαντας' εἶπεν,
ἀλλὰ πάντῃ τὸ τοῦ τέλους διακέκλοφεν ὄνομα, ἐπειδήπερ ἦν εὐτυ-

4 μεθιστὰς Manutius | βάθος Ruhnkenius βάρος Weiskius | 5 παιώνιον Morus | 6 κουφιζομένοις Hudsonus | 15 ἐστ' Manutius: ἔτ' P | 17 ἀποθανατίσας P ἀπαθανατίσας P | 23 ὅρκων del. Kayserus n. iahrb. LXX p. 292 | ὑπήντα τις τῷ Faber | 24 num τί λέγεις; | λέγεις λέγεις P | ταῦτα τὰ ἑξῆς Toupius | 25 καὶ τὰ ὀνόματα Reiskius | καὶ ἐνταῦθα διδάσκων Faber | 27 καὶ τοὺς ἐπ' Manutius

10 EUPOLIS DEMIS | 12 cf. EURIPIDES MED. 396. 399

οὐ γὰρ μὰ τὴν δέσποιναν, ἣν ἐγὼ σέβω,
χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ |

26 EURIPIDES BACCH. 317 καὶ γὰρ ἐν βακχεύμασιν οὖσ' ἥ γε σώφρων οὐ διαφθαρήσεται.

16 χὲς καὶ τοῖς κατὰ Χαιρώνειαν ὑπεναντίον. διόπερ καὶ τὸν ἀκροατὴν φθάνων εὐθὺς ὑποφέρει· ‘οὓς ἅπαντας ἔθαψε δημοσίᾳ’ φησίν ‘ἡ πόλις, Αἰσχίνη, οὐχὶ τοὺς κατορθώσαντας μόνους’.

Οὐκ ἄξιον ἐπὶ τούτου τοῦ τόπου παραλιπεῖν ἕν τι τῶν ἡμῖν 17 τεθεωρημένων, φίλτατε, ἔσται δὲ πάνυ σύντομον, ὅτι φύσει πως συμμαχεῖ τε τῷ ὕψει τὰ σχήματα καὶ πάλιν ἀντισυμμαχεῖται θαυμαστῶς ὑπ' αὐτοῦ. πῇ δὲ καὶ πῶς, ἐγὼ φράσω. ὕποπτόν ἐστιν ἰδίως τὸ διὰ σχημάτων πανουργεῖν καὶ προσβάλλον ὑπόνοιαν ἐνέδρας ἐπιβουλῆς παραλογισμοῦ. καὶ ταῦθ' ὅταν ᾖ πρὸς κριτὴν κύριον ὁ λόγος, μάλιστα δὲ πρὸς τυράννους βασιλέας ἡγεμόνας ἐν ὑπεροχαῖς· ἀγανακτεῖ γὰρ εὐθύς, εἰ ὡς παῖς ἄφρων ὑπὸ τεχνίτου
191 r. ῥήτορος σχηματίοις κατασοφίζεται, καὶ εἰς καταφρό|νησιν ἑαυτοῦ λαμβάνων τὸν παραλογισμὸν ἐνίοτε μὲν ἀποθηριοῦται τὸ σύνολον, κἂν ἐπικρατήσῃ δὲ τοῦ θυμοῦ, πρὸς τὴν πειθὼ τῶν λόγων πάντως ἀντιδιατίθεται. διόπερ καὶ τότε ἄριστον δοκεῖ τὸ σχῆμα, ὅταν αὐτὸ τοῦτο διαλανθάνῃ, ὅτι σχῆμά ἐστι. τὸ τοίνυν ὕψος καὶ πάθος τῆς 2 ἐπὶ τῷ σχηματίζειν ὑπονοίας ἀλέξημα καὶ θαυμαστή τις ἐπικουρία καθίσταται, καί πως παραληφθεῖσα ἡ τοῦ πανουργεῖν τέχνη τοῖς πάθεσι καὶ μεγέθεσι τὸ λοιπὸν δέδυκε καὶ πᾶσαν ὑποψίαν ἐκπέφευγεν. ἱκανὸν δὲ τεκμήριον τὸ προειρημένον ‘μὰ τοὺς ἐν Μαραθῶνι’. τίνι γὰρ ἐνταῦθ' ὁ ῥήτωρ ἀπέκρυψε τὸ σχῆμα; δῆλον ὅτι τῷ φωτὶ αὐτῷ. σχεδὸν γὰρ ὥσπερ καὶ τἀμυδρὰ φέγγη ἐναφανίζεται τῷ ἡλίῳ περιαυγούμενα, οὕτω τὰ τῆς ῥητορικῆς σοφίσματα ἐξαμαυροῖ περιχυθὲν πάντοθεν τὸ μέγεθος. οὐ πόρρω δ' ἴσως τούτου καὶ ἐπὶ τῆς ζωγραφίας τι συμβαίνει· ἐπὶ γὰρ τοῦ αὐτοῦ κειμένων ἐπιπέδου παραλλήλων ἐν χρώμασι τῆς σκιᾶς τε καὶ τοῦ φωτός, ὅμως προϋπαντᾷ τε τὸ φῶς ταῖς ὄψεσι καὶ οὐ μόνον ἔξοχον ἀλλὰ καὶ ἐγγυτέρω παρὰ πολὺ φαίνεται. οὐκοῦν καὶ τῶν λόγων τὰ πάθη καὶ τὰ ὕψη, ταῖς ψυχαῖς ἡμῶν ἐγγυτέρω κείμενα διά τε φυσικήν τινα συγγένειαν καὶ διὰ λαμπρότητα, ἀεὶ τῶν σχημάτων

2 ἐπιφέρει Ruhnkenius | 6 συμμαχεῖ τε Schurzfleischius: συμμαχεῖται P | πάλιν αὖ συμμαχεῖται Nolteius ztschr. f. alterth. wiss. 1854 p. 304 | 7 ἀεί πως vel ἰδιώταις Nolteius | 9 καὶ ταῦτα καὶ ὅταν Kayserus n. iahrb. LXX p. 294 | 10 ἡγεμόνας τοὺς ἐν ἐπαρχίαις Faber | 12 σχημάτιον P in marg. | 15 ὅταν — σχῆμα om. in marg. add. P | 18 παραληφθεῖσα ἡ Tollius: παραληφθεῖσαν P παραληφθεῖσ' ἂν Schurzfleischius παρακαλυφθεῖσα ἡ Ruhnkenius παραλειφθεῖσα ἡ Toupius παρεκλειφθεῖσα Wakefieldus silv. crit. I p. 109 περιληφθεῖσα Kayserus n. iahrb. LXX p. 294 | 19 πάθεσι Tollius: κάλλεσι P | ὑποδέδυκε Manutius | 27 καὶ οὐ μόνον Victorius Boivinus: καιόμενον P | 29 οὐκ ἐγγυτέρω Weiskius

προεμφανίζεται καὶ τὴν τέχνην αὐτῶν ἐπισκιάζει καὶ οἷον ἐν κατα- 17
λήψει τηρεῖ.

18 Τί δ' ἐκεῖνα φῶμεν, τὰς πεύσεις τε καὶ ἐρωτήσεις; ἆρα οὐκ
αὐταῖς ταῖς τῶν σχημάτων εἰδοποιΐαις παρὰ πολὺ ἐμπρακτότερα
καὶ σοβαρώ|τερα συντείνει τὰ λεγόμενα; 'ἢ βούλεσθε, εἰπέ μοι, πε- 191v.
ριϊόντες ἀλλήλων πυνθάνεσθαι· λέγεταί τι καινόν; τί γὰρ ἂν γένοιτο
τούτου καινότερον ἢ Μακεδὼν ἀνὴρ καταπολεμῶν τὴν Ἑλλάδα;
τέθνηκε Φίλιππος; οὐ μὰ Δί'. ἀλλ' ἀσθενεῖ; τί δ' ὑμῖν διαφέρει;
καὶ γὰρ ἂν οὗτός τι πάθῃ, ταχέως ὑμεῖς ἕτερον Φίλιππον ποιήσετε'.
καὶ πάλιν 'πλέωμεν ἐπὶ Μακεδονίαν' φησί. 'ποῖ δὴ προσορμιούμεθα,
ἤρετό τις. εὑρήσει τὰ σαθρὰ τῶν Φιλίππου πραγμάτων αὐτὸς ὁ
πόλεμος'. ἦν δὲ ἁπλῶς ῥηθὲν τὸ πρᾶγμα τῷ παντὶ καταδεέστερον,
νυνὶ δὲ τὸ ἔνθουν καὶ ὀξύρροπον τῆς πεύσεως καὶ ἀποκρίσεως καὶ τὸ
πρὸς ἑαυτὸν ὡς πρὸς ἕτερον ἀνθυπαντᾶν οὐ μόνον ὑψηλότερον ἐποίησε
τῷ σχηματισμῷ τὸ ῥηθέν, ἀλλὰ καὶ πιστότερον. ἄγει γὰρ τὰ πα-
2 θητικὰ τότε μᾶλλον, ὅταν αὐτὰ φαίνηται μὴ ἐπιτηδεύειν αὐτὸς ὁ
λέγων, ἀλλὰ γεννᾶν ὁ καιρός, ἡ δ' ἐρώτησις ἡ εἰς ἑαυτὸν καὶ ἀπό-
κρισις μιμεῖται τοῦ πάθους τὸ ἐπίκαιρον. σχεδὸν γὰρ ὡς οἱ ὑφ'
ἑτέρων ἐρωτώμενοι παροξυνθέντες ἐκ τοῦ παραχρῆμα πρὸς τὸ λεχθὲν
ἐναγωνίως καὶ ἀπ' αὐτῆς τῆς ἀληθείας ἀνθυπαντῶσιν, οὕτως τὸ
σχῆμα τῆς πεύσεως καὶ ἀποκρίσεως εἰς τὸ δοκεῖν ἕκαστον τῶν
ἐσκεμμένων ἐξ ὑπογύου κεκινῆσθαί τε καὶ λέγεσθαι τὸν ἀκροατὴν
ἀπάγον καὶ παραλογίζεται. ἔτι τοίνυν — ἓν γάρ τι τῶν ὑψηλο-
τάτων τὸ ἡροδότειον πεπίστευται — εἰ οὕτως ἕ * *

19 * * πλοκα ἐκπίπτει καὶ οἱονεὶ προχεῖται τὰ λεγόμενα, ὀλίγου 192r.

1 ἐπισκιάζει Reiskius Finckhius n. iahrb. LXIX p. 638: ἀποσκιάζει P | καταλήψει ς: κατακαλύψει P κάλυξι Valckenaerius Nolteius ztschr. f. alterth. wiss. 1854 p. 304 ἀκαταληψίᾳ Kayserus n. iahrb. LXX p. 294 | 3 τε καὶ ἀποκρίσεις G. S. A. class. journ. III, 5 p. 68 | 4 οὐ ταύταις G. S. A. | 6 αὐτῶν codd. Demosthenis | γένοιτο γὰρ ἄν τι καινότερον codd. Demosthenis | 7 τούτου del Pearcius | ἀνὴρ Ἀθηναίοις καταπολεμῶν καὶ τὰ τῶν Ἑλλήνων διοικῶν; codd. Demosthenis | 10 οὐκ ἐπὶ τὴν ἐκείνου πλευσόμεθα; codd. Demosthenis | ποῖ οὖν codd. Demosthenis | 11 ἤρετό τις del. Pearcius | σαθρὰ ὦ ἄνδρες Ἀθηναῖοι τῶν ἐκείνου πραγμάτων codd. Demosthenis | 16 μάλιστα Spengelius | αὐτὸς ὁ καιρός Spengelius | 18 ὡς οἱ Faber: ὅσοι P ὅσοι Petra | 19 παροξυνθέντες Morus: παροξύνοντες P | 21 ἐκ τοῦ δοκεῖν Toupius | 23 ἀπά*ον P ἀπάγον P ἀπάγει Robortellus | καὶ del. Schurzfleischius | 27 ἄπλοκα Manutius

5 DEMOSTHENES PHIL. I, 10 | 10 DEMOSTHENES PHIL. I, 44

19 δεῖν φθάνοντα καὶ αὐτὸν τὸν λέγοντα. ‘καὶ συμβαλόντες’ φησὶν ὁ Ξενοφῶν ‘τὰς ἀσπίδας ἐωθοῦντο ἐμάχοντο ἀπέκτεινον ἀπέθνησκον’.
καὶ τὰ τοῦ Εὐρυλόχου 2

ἤλθομεν, ὡς ἐκέλευες, ἀνὰ δρυμά, φαίδιμ’ Ὀδυσσεῦ.
εὕρομεν ἐν βήσσῃσι τετυγμένα δώματα καλά.

τὰ γὰρ ἀλλήλων διακεκομμένα καὶ οὐδὲν ἧττον κατεσπευσμένα φέρει τῆς ἀγωνίας ἔμφασιν ἅμα καὶ ἐμποδιζούσης τι καὶ συνδιωκούσης. τοιαῦθ’ ὁ ποιητὴς ἐξήνεγκε διὰ τῶν ἀσυνδέτων.

Ἄκρως δὲ καὶ ἡ ἐπὶ ταὐτὸ σύνοδος τῶν σχημάτων εἴωθε κινεῖν, 20
ὅταν δύο ἢ τρία οἷον κατὰ συμμορίαν ἀνακιρνάμενα ἀλλήλοις ἐρανίζῃ τὴν ἰσχύν, τὴν πειθώ, τὸ κάλλος, ὁποῖα καὶ τὰ εἰς τὸν Μειδίαν ταῖς ἀναφοραῖς ὁμοῦ καὶ τῇ διατυπώσει συναναπεπλεγμένα τὰ ἀσύνδετα. ‘πολλὰ γὰρ ἂν ποιήσειεν ὁ τύπτων, ὧν ὁ παθὼν ἔνια οὐδ’ ἂν ἀπαγγεῖλαι δύναιτο ἑτέρῳ, τῷ σχήματι, τῷ βλέμματι, τῇ φωνῇ’. εἶθ’ ἵνα μὴ ἐπὶ τῶν αὐτῶν ὁ λόγος ἰὼν στῇ — ἐν στάσει
γὰρ τὸ ἠρεμοῦν, ἐν ἀταξίᾳ δὲ τὸ πάθος, ἐπεὶ φορὰ ψυχῆς καὶ 2
συγκίνησίς ἐστιν —, εὐθὺς ἐπ’ ἄλλα μεθήλατο ἀσύνδετα καὶ ἐπαναφοράς· ‘[τῷ σχήματι, τῷ βλέμματι, τῇ φωνῇ,] ὅταν ὡς ὑβρίζων, ὅταν ὡς ἐχθρός, ὅταν κονδύλοις, ὅταν [ὡς δοῦλον] ἐπὶ κόρρης’. οὐδὲν ἄλλο διὰ τούτων ὁ ῥήτωρ ἢ ὅπερ ὁ τύπτων ἐργάζεται, τὴν διάνοιαν
τῶν δικαστῶν τῇ ἐπαλλήλῳ πλήττει φορᾷ. εἶτ’ ἐντεῦθεν πάλιν ὡς 3
192v. αἱ καταιγίδες ἄλλην ποιούμενος ἐμβολήν ‘ὅταν κονδύλοις, | ὅταν ἐπὶ κόρρης’ φησί ‘ταῦτα κινεῖ, ταῦτα ἐξίστησιν ἀνθρώπους, ἀήθεις ὄντας τοῦ προπηλακίζεσθαι· οὐδεὶς ἂν ταῦτα ἀπαγγέλλων δύναιτο τὸ δεινὸν παραστῆσαι’. οὐκοῦν τὴν μὲν φύσιν τῶν ἐπαναφορῶν καὶ ἀσυνδέτων πάντη φυλάττει τῇ συνεχεῖ μεταβολῇ· οὕτως αὐτῷ καὶ

4 ἤομεν codd. Homeri | 5 *ίδομεν P εὕρομεν in marg. P | βήσσῃσιν P | 6 ἧσσον P | κατεσπασμένα ς | 7 συνδιωκούσης Faber: συνδιοικούσης P | 10 συμμορίαν Manutius: συμμορίας P | ἐρανιζ** P ἐρανίζῃ P συνερανίζῃ Toupius | 11 τοῦ εἰς Reiskius | ὁποῖα τὰ εἰς Nolteius ztschr. f. alterth. wiss. 1854 p. 304 | 12 τὰ del Weiskius | 13 τύπτων, ὦ ἄνδρες Ἀθηναῖοι codd. Demosthenis | 15 τάξει Manutius | 18 τῷ σχήματι — φωνῇ del. Faber | 19 ἐχθρὸς ὑπάρχων codd. Demosthenis | ὡς δοῦλον om. codd. Demosthenis | 21 πλήττων Faber | 22 ὅταν κονδύλοις — κόρρης del. Finckhius n. iahrb. LXIX p. 638 | ὅταν — φησί om. Manutius | 23 ἐπὶ κόρρης om. P | ἀνθρώπους αὐτῶν codd. Demosthenis | 24 οὐδεὶς ἂν codd. Demosthenis: ἂν om. P | 25 ὡς οὖν τὴν φύσιν Morus | τὴν μεγαλοφυΐαν Vaucherus | lacunam post φύσιν statuit Weiskius

1 XENOPHON HIST. GR. IV, 3, 19. AGES. 2, 12 | 4 HOMERUS ODYSS. κ, 251 | EUSTATHIUS p. 1657, 34 καλὸν δ’ ἐν τούτοις καὶ ἡ ἀσύνδετος εἰσβολή. | 13 DEMOSTHENES IN MID. 72

ἡ τάξις ἄτακτον καὶ ἔμπαλιν ἡ ἀταξία ποιὰν περιλαμβάνει 20
τάξιν.

21 Φέρε οὖν, πρόσθες τοὺς συνδέσμους, εἰ θέλεις, ὡς ποιοῦσιν οἱ ἰσοκράτειοι· 'καὶ μὴν οὐδὲ τοῦτο χρὴ παραλιπεῖν, ὡς πολλὰ ἂν ποιήσειεν ὁ τύπτων, πρῶτον μὲν τῷ σχήματι, εἶτα δὲ τῷ βλέμματι, εἶτά γε μὴν αὐτῇ τῇ φωνῇ', καὶ εἴσῃ κατὰ τὸ ἑξῆς οὕτως παραγράφων, ὡς τοῦ πάθους τὸ συνδεδιωγμένον καὶ ἀποτραχυνόμενον, ἐὰν τοῖς συνδέσμοις ἐξομαλίσῃς, εἰς λειότητα ἄκεντρόν τε προσπίπτει
2 καὶ εὐθὺς ἔσβεσται. ὥσπερ γὰρ εἴ τις συνδήσειε τῶν θεόντων τὰ σώματα, τὴν φορὰν αὐτῶν ἀφῄρηται, οὕτως καὶ τὸ πάθος ὑπὸ τῶν συνδέσμων καὶ τῶν ἄλλων προσθηκῶν ἐμποδιζόμενον † ἀγανακτεῖ· τὴν γὰρ ἐλευθερίαν ἀπολλύει τοῦ δρόμου καὶ τὸ ὡς ἀπ' ὀργάνου τινὸς ἀφίεσθαι.

22 Τῆς δὲ αὐτῆς ἰδέας καὶ τὰ ὑπερβατὰ θετέον. ἔστιν δὲ λέξεων ἢ νοήσεων ἐκ τοῦ κατ' ἀκολουθίαν κεκινημένη τάξις καὶ οἱονεὶ χαρακτὴρ ἐναγωνίου πάθους ἀληθέστατος. ὡς γὰρ οἱ τῷ ὄντι ὀργιζόμενοι ἢ φοβούμενοι ἢ ἀγανακτοῦντες ἢ ὑπὸ ζηλοτυπίας ἢ ὑπὸ ἄλλου τινός — πολλὰ γὰρ καὶ ἀναρίθμητα πάθη καὶ οὐδ' ἂν εἰπεῖν τις ὁπόσα δύ|ναιτο — ἑκάστοτε παραπίπτοντες, ἄλλα προθέ- 193 r.
μενοι πολλάκις ἐπ' ἄλλα μεταπηδῶσι, μέσα τινὰ παρεμβαλόντες ἀλόγως, εἶτ' αὖθις ἐπὶ τὰ πρῶτα ἀνακυκλοῦντες καὶ πάντη πρὸς τῆς ἀγωνίας, ὡς ὑπ' ἀστάτου πνεύματος, τῇδε κἀκεῖσε ἀγχιστρόφως ἀντισπώμενοι [τὰς λέξεις τὰς νοήσεις] τὴν ἐκ τοῦ κατὰ φύσιν εἱρμοῦ παντοίως πρὸς μυρίας τροπὰς ἐναλλάττουσι τάξιν· οὕτω παρὰ τοῖς ἀρίστοις συγγραφεῦσι διὰ τῶν ὑπερβατῶν ἡ μίμησις ἐπὶ τὰ τῆς φύσεως ἔργα φέρεται. τότε γὰρ ἡ τέχνη τέλειος, ἡνίκ' ἂν φύσις εἶναι δοκῇ, ἡ δ' αὖ φύσις ἐπιτυχής, ὅταν λανθάνουσαν περιέχῃ τὴν τέχνην. ὥσπερ λέγει ὁ Φωκαεὺς Διονύσιος παρὰ τῷ Ἡροδότῳ· 'ἐπὶ ξυροῦ γὰρ ἀκμῆς ἔχεται ἡμῖν τὰ πράγματα, ἄνδρες Ἴωνες, εἶναι

1 ἄτακτόν τι Tollius | 3 θέλοις P | CΥΝΔ. P in marg. | 8 ἄκεντρον P in marg. | τε del. Faber | προπίπτει Nolteius ztschr. f. alterth. wiss. 1854 p. 304 | 11 ἀγωνίζεται εἰκῆ Weiskius ἀτονεῖ Cumanudes spec. emend. p. 11 | 12 ἀπολλύει Finckhius n. iahrb. LXIX p. 638 Cumanudes: ἀπολύει P ἀποκωλύει Ruhnkenius ἀπολύουσι Morus ἀπόλλυσι vel ἀποκλείουσι Weiskius | 14 περὶ ὑπερβατῶν ὅρος ὑπερβατοῦ P in marg. | 20 μέσ*α P | 21 ἀλ*όγως P | 23 τὰς τὴν τῶν λέξεων καὶ νοήσεων ἐκ Tollius νοήσεις del. Nolteius ztschr. f. alterth. wiss. 1854 p. 304 | 29 πρήγματα — ἢ εἶναι codd. Herodoti

28 HERODOTUS VI, 11

14 ἡμῖν κατὰ ζῆλον ἐκεῖνα τὰ πρόσωπα καὶ οἷον| διαπρέποντα, τὰς
187v. ψυχὰς ἀνοίσει πως πρὸς τὰ ἀνειδωλοποιούμενα μέτρα· ἔτι δὲ μᾶλ- 2
λον, εἰ κἀκεῖνο τῇ διανοίᾳ προσυπογράφοιμεν, πῶς ἂν τόδε τι ὑπ'
ἐμοῦ λεγόμενον παρὼν Ὅμηρος ἤκουσεν ἢ Δημοσθένης, ἢ πῶς ἂν
ἐπὶ τούτῳ διετέθησαν· τῷ γὰρ ὄντι μέγα τὸ ἀγώνισμα, τοιοῦτον
ὑποτίθεσθαι τῶν ἰδίων λόγων δικαστήριον καὶ θέατρον καὶ ἐν τηλι-
κούτοις ἥρωσι κριταῖς τε καὶ μάρτυσιν ὑπέχειν τῶν γραφομένων
εὐθύνας †πεπαῖχθαι. πλέον δὲ τούτων παρορμητικόν, εἰ προστιθείης, 3
πῶς ἂν ἐμοῦ ταῦτα γράψαντος ὁ μετ' ἐμὲ πᾶς ἀκούσειεν αἰών; εἰ
δέ τις αὐτόθεν φοβοῖτο, μὴ τοῦ ἰδίου βίου καὶ χρόνου φθέγξαιτό
τι ὑπερήμερον, ἀνάγκη καὶ τὰ συλλαμβανόμενα ὑπὸ τῆς τούτου
ψυχῆς ἀτελῆ καὶ τυφλὰ ὥσπερ ἀμβλοῦσθαι, πρὸς τὸν τῆς ὑστερο-
φημίας ὅλως μὴ τελεσφορούμενα χρόνον.
Ὄγκου καὶ μεγαληγορίας καὶ ἀγῶνος ἐπὶ τούτοις, ὦ Τερεντιανέ, 15
καὶ αἱ φαντασίαι παρασκευαστικώταται· οὕτω γοῦν εἰδωλοποιΐας
αὐτὰς ἔνιοι λέγουσι. καλεῖται μὲν γὰρ κοινῶς φαντασία πᾶν τὸ
ὁπωσοῦν ἐννόημα γεννητικὸν λόγου παριστάμενον· ἤδη δ' ἐπὶ τού-
των κεκράτηκε τοὔνομα, ὅταν ἃ λέγεις ὑπ' ἐνθουσιασμοῦ καὶ πά-

1 διατρέποντα Reiskius | 2 μετέωρα Langbainius | 3 τόδε τὸ Morus | 5 τοῦτο P τούτω P | 8 πεπ**χθαι P πεπαῖχθαι P om. Robortellus asterisco posito, del. Spengelius τετάχθαι Morus πεπεῖσθαι Reiskius προσῆχθαι Weiskius f. καὶ μὴ παῖξαι Manutius καὶ μὴ πταῖσαι Langbainius | 10 οὐ φθέγξαιτο Pearcius | 13 ὅλης Manutius ὅλον G. S. A. class. journ. III, 5 p. 67 | 14 ὦ Τερεντιανὲ Schurzfleischius: ὦ νεανία P ὦ γενναῖε Steinheilius | 15 τὰς εἰδωλοποιΐας Dobreeus adv. I p. 565 εἰδωλοποιοὺς Reiskius | 16 αὐτὰς del. Morus 17 ἐννοήματι Spengelius | ἰδίως δ' Manutius | 18 λέγεις Spengelius: λέγῃς P

15 QUINTILIANUS VI, 2, 29 quas φαντασίας Graeci vocant, nos sane visiones appellemus, per quas imagines rerum absentium ita repraesententur animo, ut eas cernere oculis ac praesentes habere videamur. has quisquis bene conceperit, is erit in affectibus potentissimus. hunc quidam dicunt εὐφαντασίωτον. cf. XII, 10, 6 concipiendis visionibus, quas φαντασίας vocant, Theon Samius praestantissimus. | HERMOGENES PROGYMN. 9 εἰδωλοποιΐαν δέ φασιν ἐκεῖνο, ὅταν τοῖς τεθνεῶσι λόγους περιάπτωμεν. APHTHON. PROGYMN. 11 εἰδωλοποιΐα δὲ ⟨ἠθοποιΐα⟩ ἡ πρόσωπον μὲν ἔχουσα γνώριμον τεθνεὸς δὲ καὶ τοῦ λέγειν παυσάμενον· ὡς ἐν Δήμοις Εὔπολις ἔπλασεν καὶ Ἀριστείδης ἐν τῷ ὑπὲρ τῶν τεσσάρων· ὅθεν καὶ εἰδωλοποιΐα προσαγορεύεται. cf PLATONIUS DE CHAR. 2 Εὔπολις δὲ εὐφάνταστος μὲν εἰς ὑπερβολήν ἐστι κατὰ τὰς ὑποθέσεις. τὰς γὰρ εἰσηγήσεις μεγάλας τῶν δραμάτων ποιεῖται καὶ ἥνπερ ἐν τῇ παραβάσει φαντασίαν κινοῦσιν οἱ λοιποί, ταύτην ἐκεῖνος ἐν τοῖς δράμασιν, ἀναγεῖν ἱκανὸς ὢν ἐξ Αἴδου νομοθετῶν πρόσωπα καὶ δι' αὐτῶν εἰσηγούμενος ἢ περὶ θέσεως νόμων ἢ καταλύσεως.

2 θους βλέπειν δοκῇς καὶ ὑπ' ὄψιν τιθῇς τοῖς ἀκούουσιν. ὡς δ' ἕτε- 15
ρόν τι ἡ ῥητορικὴ φαντασία βούλεται καὶ ἕτερον ἡ παρὰ ποιηταῖς, οὐκ ἂν λάθοι σε, οὐδ' ὅτι τῆς | μὲν ἐν ποιήσει τέλος ἐστὶν ἔκπληξις, 188 r.
τῆς δ' ἐν λόγοις ἐνάργεια, ἀμφότεραι δ' ὅμως τό τε * ἐπιζητοῦσι καὶ τὸ συγκεκινημένον.

ὦ μῆτερ ἱκετεύω σε, μὴ 'πίσειέ μοι
τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας·
αὗται γάρ, αὗται πλησίον θρώσκουσί μου.

καὶ

οἴ μοι, κτανεῖ με· ποῖ φύγω;

ἐνταῦθ' ὁ ποιητὴς αὐτὸς εἶδεν Ἐρινύας· ὃ δ' ἐφαντάσθη, μικροῦ δεῖν
3 θεάσασθαι καὶ τοὺς ἀκούοντας ἠνάγκασεν. ἔστι μὲν οὖν φιλοπονώτατος ὁ Εὐριπίδης δύο ταυτὶ πάθη, μανίας τε καὶ ἔρωτας, ἐκτραγῳδῆσαι κἀν τούτοις, ὡς οὐκ οἶδ' εἴ τισιν ἑτέροις, ἐπιτυχέστατος, οὐ μὴν ἀλλὰ καὶ ταῖς ἄλλαις ἐπιτίθεσθαι φαντασίαις οὐκ ἄτολμος. ἥκιστά γέ τοι μεγαλοφυὴς ὢν ὅμως τὴν αὐτὸς αὑτοῦ φύσιν ἐν πολλοῖς γενέσθαι τραγικὴν προσηνάγκασε καὶ παρ' ἕκαστα ἐπὶ τῶν μεγεθῶν, ὡς ὁ ποιητής,

οὐρῇ δὲ πλευράς τε καὶ ἰσχίον ἀμφοτέρωθεν
μαστίεται, ἓὲ δ' αὐτὸν ἐποτρύνει μαχέσασθαι.

4 τῷ γοῦν Φαέθοντι παραδιδοὺς τὰς ἡνίας ὁ Ἥλιος

ἔλα δὲ μήτε λιβυκὸν αἰθέρ' εἰσβαλών·
κρᾶσιν γὰρ ὑγρὰν οὐκ ἔχων ἁψῖδα σὴν
κάτω διήσει

φησίν, εἶθ' ἑξῆς,

ἵει δ' ἐφ' ἑπτὰ Πλειάδων ἔχων δρόμον.
. . . . . . . . .
τοσαῦτ' ἀκούσας εἶτ' ἔμαρψεν ἡνίας·
κρούσας δὲ πλευρὰ πτεροφόρων ὀχημάτων

2 ἢ παcὰ P | 3 λάθοι* P | ἐμποιήσει P | ἔμπληξις Robortellus | 4 τό τ' ἔνθεον Morus ταὐτὸν Toupius ταὐτὸ τοῦτ' Weiskius τοῦτο τε Gennadius τό τε παθητικὸν Kayserus n. iahrb. LXX p. 293 | 11 οὐκ εἶδεν Manutius | ὃ δ' Manutius: ὁ δὲ P | 14 εἴ τις ἕτερος Stanleius in vita Aesch. p. 64 Butl. ἑτέ*ροις P | 18 ἐπὶ del. Morus ἐστι Vaucherus | 19 ἰσχία codd. Homeri | 20 ἓὲ codd. Homeri: ἑ P | μαχέσασθαι codd. Homeri: μάχεσθαι P | 23 ἁψῖδα σὴν Faber: ἁψίδας ἣν P | 24 διήσει Faber: δίεισι P | post 26 quaedam omisit scriptor | 27 τοσαῦ* P τ add. p | εἶτ' ἔμαρψεν Manutius: τίς ἔμαρψεν P παῖς ἔμαρψεν Grotius χέρσ' ἔμαρψεν Salmasius exerc. Plin. p. 630 τὰς ἔμαρψεν G. S. A. class. journ. III, 5 p. 67 | 29 πλευρὰν Robortellus

6 EURIPIDES OREST. 241 | 10 IPHIG. TAUR. 291 | 18 HOMERUS IL. Υ, 170 | 21 EURIPIDES PHAETH.

μεθῆκεν, αἱ δ' ἔπταντ' ἐπ' αἰθέρος πτύχας.
πατὴρ δ' ὄπισθε νῶτα σειραίου βεβὼς
ἵππευε παῖδα νουθετῶν· ἐκεῖσ' ἔλα,
τῆδε στρέφ' ἅρμα, τῆδε.

188v. ἆρ' οὐκ ἂν εἴποις, ὅτι ἡ ψυχὴ τοῦ γράφοντος συνε|πιβαίνει τοῦ ἅρματος καὶ συγκινδυνεύουσα τοῖς ἵπποις συνεπτέρωται; οὐ γὰρ ἄν, εἰ μὴ τοῖς οὐρανίοις ἐκείνοις ἔργοις ἰσοδρομοῦσα ἐφέρετο, τοιαῦτ' ἄν ποτε ἐφαντάσθη. ὅμοια καὶ τὰ ἐπὶ τῆς Κασσάνδρας αὐτῷ

ἀλλ', ὦ φίλιπποι Τρῶες . . . . .

τοῦ δ' Αἰσχύλου φαντασίαις ἐπιτολμῶντος ἡρωϊκωτάταις, ὥσπερ οἱ ἑπτὰ ἐπὶ Θήβας παρ' αὐτῷ — 'ἄνδρες' φησίν 5

'ἑπτὰ θούριοι λοχαγέται,
ταυροσφαγοῦντες εἰς μελάνδετον σάκος
καὶ θιγγάνοντες χερσὶ ταυρείου φόνου
Ἄρην τ' Ἐνυὼ καὶ φιλαίματον Φόβον
ὁρκωμότησαν' —

τὸν ἴδιον αὐτῶν πρὸς ἀλλήλους δίχα οἴκτου συνομνύμενοι θάνατον, ἐνίοτε μέντοι ἀκατεργάστους καὶ οἱονεὶ ποκοειδεῖς τὰς ἐννοίας καὶ ἀμαλάκτους φέροντος, ὅμως ἑαυτὸν ὁ Εὐριπίδης κἀκείνοις ὑπὸ φιλοτιμίας 6
τοῖς κινδύνοις προσβιβάζει. καὶ παρὰ μὲν Αἰσχύλῳ παραδόξως τὰ τοῦ Λυκούργου βασίλεια κατὰ τὴν ἐπιφάνειαν τοῦ Διονύσου θεοφορεῖται

ἐνθουσιᾷ δὴ δῶμα, βακχεύει στέγη·

ὁ δ' Εὐριπίδης τὸ αὐτὸ τοῦθ' ἑτέρως ἐφηδύνας ἐξεφώνησε

πᾶν δὲ συνεβάκχευ' ὄρος.

ἄκρως δὲ καὶ ὁ Σοφοκλῆς ἐπὶ τοῦ θνήσκοντος Οἰδίπου καὶ ἑαυτὸν μετὰ διοσημείας τινὸς θάπτοντος πεφάντασται, καὶ κατὰ τὸν ἀπό- 7
πλουν τῶν Ἑλλήνων ἐπὶ τοῦ Ἀχιλλέως προφαινομένου τοῖς ἀναγο-

1 ἔπταντο P | 2 ὄπισθεν ὦτα P | 2 σειραίου Rutgersius var. lect. I, 10: σειρίος P | σείρι' ἐμβεβὼς Ravius de Eurip. Phaet. p. 37 | 3 ἔλα τῆδε στρέφ' Portus: ἐλατῆρα ἔστρεφ' P ἔλα, τήρει, στρέφ' Bergkius de rell. com. att. ant. p. 397 ἔλα στρέφ' Hartungus Eurip. restit. II p. 202 | 6 συ*κινδυνεύουσα P συγκινδυνεύουσα P | ἀνεπτέρωται Schaeferus | 9 reliqua omisit scriptor | 10 οἱ Manutius: καὶ P | 14 θιγγανοντισχερσι P ο corr. in ω | 17 αὐτῶν P | 18 ἀμαλάκτους φέροντος Manutius: ἀναλλάκτους φέροντας P | 19 φιλ***μίας P φιλοτιμίας P | αἰ*σχύλῳ P | 21 θεοφ*ρεῖται P θεοφορεῖται P | 24 συνεβάκχευ' Porsonus advers. p. 266: συνεβάκχευεν P συνεβάκχευσ' codd. Euripidis | 25 οἰδ**που P οἰδίπου P | 26 μεταξὺ Reiskius | 27 ἐπὶ τοῦ Ἀχιλλέως scripsi: ἔπειτ' Ἀχιλλέως P ἐπί τ' Ἀχιλλέως Tollius

11 AESCHYLUS SEPT. 42 | 17 SEPT. 51 οἶκτος δ' οὔτις ἦν διὰ στόμα | 20 AESCHYLUS LYCURGIA | 23 EURIPIDES BACCH. 726 (716) | 25 SOPHOCLES OEDIP. COL. 1586 | 27 PORPHYRIUS (IOANN. STOB. ECL. 1, 41, 50) Σοφοκλῆς ἐν Πολυξένῃ τὴν ⟨om. codd.⟩ τοῦ Ἀχιλλέως ψυχὴν εἰσάγει.

μένοις ὑπὲρ τοῦ τάφου, ἣν οὐκ οἶδ' εἴ τις ὄψιν ἐναργέστερον εἰδω- 15
8 λοποίησε Σιμωνίδου· πάντα δ' ἀμήχανον παρατίθεσθαι. οὐ μὴν
ἀλλὰ τὰ μὲν παρὰ τοῖς ποιηταῖς μυθικωτέ|ραν ἔχει τὴν ὑπερέκ- 189 r.
πτωσιν, ὡς ἔφην, καὶ πάντη τὸ πιστὸν ὑπεραίρουσαν, τῆς δὲ ῥητο- Κζ
ρικῆς φαντασίας κάλλιστον ἀεὶ τὸ ἔμπρακτον καὶ ἐνάληθες. δειναὶ
δὲ καὶ ἔκφυλοι αἱ παραβάσεις, ἡνίκ' ἂν ᾖ ποιητικὸν τοῦ λόγου καὶ
μυθῶδες τὸ πλάσμα καὶ εἰς πᾶν προσεκπίπτον τὸ ἀδύνατον, ὡς ἤδη
νὴ Δία καὶ οἱ καθ' ἡμᾶς δεινοὶ ῥήτορες, καθάπερ οἱ τραγῳδοί, βλέ-
πουσιν Ἐρινύας καὶ οὐδὲ ἐκεῖνο μαθεῖν οἱ γενναῖοι δύνανται, ὅτι ὁ
λέγων [Ὀρέστης]

μέθες, μί' οὖσα τῶν ἐμῶν Ἐρινύων·
μέσον μ' ὀχμάζεις, ὡς βάλῃς ἐς τάρταρον

9 φαντάζεται ταῦθ' ὅτι μαίνεται. τί οὖν ἡ ῥητορικὴ φαντασία δύ-
ναται; πολλὰ μὲν ἴσως καὶ ἄλλα τοῖς λόγοις ἐναγώνια καὶ ἐμ-
παθῆ προσεισφέρειν, κατακιρναμένη μέντοι ταῖς πραγματικαῖς ἐπι-
χειρήσεσιν οὐ πείθει τὸν ἀκροατὴν μόνον, ἀλλὰ καὶ δουλοῦται. 'καὶ
μὴν εἴ τις' φησίν 'αὐτίκα δὴ μάλα κραυγῆς ἀκούσειε πρὸ τῶν δι-
καστηρίων, εἶτ' εἴποι τις, ὡς ἀνέῳκται τὸ δεσμωτήριον, οἱ δὲ δεσμῶ-
ται φεύγουσιν, οὐθεὶς οὕτως οὔτε γέρων οὔτε νέος ὀλίγωρός ἐστιν, ὃς
οὐχὶ βοηθήσει καθ' ὅσον δύναται· εἰ δὲ δή τις εἴποι παρελθών, ὡς
ὁ τούτους ἀφεὶς οὗτός ἐστιν, οὐδὲ λόγου τυχὼν παραυτίκ' ἂν ἀπό-
10 λοιτο'. ὡς νὴ Δία καὶ ὁ Ὑπερίδης κατηγορούμενος, ἐπειδὴ τοὺς
δούλους μετὰ τὴν ἧτταν ἐλευθέρους ἐψηφίσατο, 'τοῦτο τὸ ψήφισμα'
εἶπεν 'οὐχ ὁ ῥήτωρ ἔγραψεν, ἀλλ' ἡ ἐν Χαιρωνείᾳ μάχη'. ἅμα
γὰρ τῷ πραγματικῶς ἐπιχειρεῖν ὁ ῥήτωρ πεφάντασται, διὸ καὶ τὸν

6 παρεκβάσεις Petra ὑπερβάσεις Faber | τὸ τοῦ λόγου Manutius | 7 προεκπίπτον Morus | ἀδύνατον Manutius: δυνατον P | 12 τάρρον P τα add. p | 17 τις om. codd. Demosthenis | κραυγὴν ἀκούσαιτε πρὸς τῷ δικαστηρίῳ codd. Demosthenis | 19 οὐδεὶς οὔτε γέρων οὔτ' ὀλίγωρος οὕτως ἐστίν, ὅστις οὐχὶ βοηθήσειεν ἂν codd. Demosthenis | 21 ἀφιεὶς ἐστιν οὑτοσί codd. Demosthenis | εὐθὺς ἂν ἀπαχθεὶς θανάτῳ ζημιωθείη codd. Demosthenis | 24 χ**ρωνείᾳ P χαιρωνείᾳ P | 25 πραγματικῶς Morus: πραγματικῷ P | τῷ ἐπιχειρεῖν Reiskius

10 EURIPIDES OREST. 264 | 16 DEMOSTHENES c. TIMOCRAT. 208 | 22 [PLUTARCHUS] V. DEC. ORR. p. 849 A κριθεὶς δὲ ⟨Ὑπερείδης⟩ ὑπὸ τοῦ Ἀριστογείτονος παρανόμων ἐπὶ τῷ γράψαι μετὰ Χαιρώνειαν τοὺς μετοίκους πολίτας ποιήσασθαι, τοὺς δὲ δούλους ἐλευθέρους, ἱερὰ δὲ καὶ παῖδας καὶ γυναῖκας εἰς τὸν Πειραιᾶ ἀποθέσθαι, ἀπέφυγεν. αἰτιωμένων δέ τινων αὐτὸν ὡς παριδόντα πολλοὺς νόμους ἐν τῷ ψηφίσματι, 'ἐπισκότει' ἔφη 'μοι τὰ Μακεδόνων ὅπλα' καὶ 'οὐκ ἐγὼ τὸ ψήφισμα ἔγραψα, ἡ δ' ἐν Χαιρωνείᾳ μάχη'.

μεθῆκεν, αἱ δ'
πατὴρ δ' ὄπισθε
ἵππευε παῖδα
τῇδε στρέφ'

188v. ἆρ' οὐκ ἂν εἴποις, ὅτι
ἅρματος καὶ συγκινδυ
εἰ μὴ τοῖς οὐρανίοις ἐκ
ποτε ἐφαντάσθη. ὅμ

ἀλλ', ὦ φ

τοῦ δ' Αἰσχύλου φαντ
ἑπτὰ ἐπὶ Θήβας παρ

'ἑπτὰ θο
ταυροσφα
καὶ θιγγα
Ἄρην τ
ὁρκωμότ

τὸν ἴδιον αὐτῶν π
ἐνίοτε μέντοι ἀκατε
λάκτους φέροντος
τοῖς κινδύνοις προσ
Λυκούργου βασί

ἐνθου

ὁ δ' Εὐριπίδης

ἄκρως δὲ καὶ
μετὰ διοσημεί
πλουν τῶν Ἑλλ

1 ἔπταντο P
σειρίος P | σείρ
Portus: ἐλατῆρ
p. 397 ἔλα στ
συγκινδυνεύουσα P
Manutius: καὶ P
λάκτους φέροντ
μίας P | αἰσχ
advers. p. 20

... de figuris verbo...
... qui non ut partem
... operi dedicaverunt sicut
... Visellius ... non pa

QUINTILIANUS IX, 2, 38 ...
... mire movet, sive ad-
... invocationem aliquam convertimus ...

μὲν προγόνους ἀποθεώσας, ὅτι δεῖ τοὺς οὕτως ἀποθα- 16
οὺς ὀμνύναι παριστάνων, τοῖς δὲ κρίνουσι τὸ τῶν ἐκεῖ
ντων ἐντιθεὶς φρόνημα, τὴν δὲ τῆς ἀποδείξεως φύσιν
εἰς ὑπερβάλλον ὕψος καὶ πάθος καὶ ξένων καὶ ὑπερ-
ἀξιοπιστίαν, καὶ ἅμα παιώνειόν τινα καὶ ἀλεξιφάρμα-
ψυχὰς τῶν ἀκουόντων καθιεὶς λόγον, ὡς κουφιζομένους
εγκωμίων μηδὲν ἔλαττον τῇ μάχῃ τῇ πρὸς Φίλιππον ἢ
τὰ Μαραθῶνα καὶ Σαλαμῖνα νικητηρίοις παρίστασθαι φρο-
πᾶσι τοὺς ἀκροατὰς διὰ τοῦ σχηματισμοῦ συναρπάσας
καίτοι παρὰ τῷ Εὐπόλιδι τοῦ ὅρκου τὸ σπέρμα φασὶν

οὐ γὰρ μὰ τὴν Μαραθῶνι τὴν ἐμὴν μάχην,
χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.

οὐ τὸ ὁπωσοῦν τινὰ ὀμόσαι μέγα, τὸ δὲ ποῦ καὶ πῶς καὶ
καιρῶν καὶ τίνος ἕνεκα. ἀλλ' ἐκεῖ μὲν οὐδέν ἐστ' εἰ μὴ
καὶ πρὸς εὐτυχοῦντας ἔτι καὶ οὐ δεομένους παρηγορίας τοὺς
ους· ἔτι δ' οὐχὶ τοὺς ἄνδρας ἀπαθανατίσας ὁ ποιητὴς ὤμοσεν,
ς ἐκείνων ἀρετῆς τοῖς ἀκούουσιν ἐντέκῃ λόγον ἄξιον, ἀλλ' ἀπὸ
προκινδυνευσάντων ἐπὶ τὸ ἄψυχον ἀπεπλανήθη, τὴν μάχην.
δὲ τῷ Δημοσθένει πεπραγμάτευται πρὸς ἡττημένους ὁ ὅρκος,
ὴ Χαιρώνειαν ἔτ' Ἀθηναίοις ἀτύχημα φαίνεσθαι, καὶ | ταὐτόν, 190v.
φην, ἅμα ἀπόδειξίς ἐστι τοῦ μηδὲν ἡμαρτηκέναι, παράδειγμα,
ων πίστις, ἐγκώμιον προτροπή, κἀπειδήπερ ὑπήντα τῷ ῥήτορι
γεις ἧτταν πολιτευσάμενος, εἶτα νίκας ὀμνύεις'; διὰ ταῦθ' ἑξῆς
νονίζει καὶ δι' ἀσφαλείας ἄγει καὶ ὀνόματα, διδάσκων ὅτι κἀν
ικχεύμασι νήφειν ἀναγκαῖον. 'τοὺς προκινδυνεύσαντας' φησί 'Μα-
ιθῶνι καὶ τοὺς Σαλαμῖνι καὶ ἐπ' Ἀρτεμισίῳ ναυμαχήσαντας, καὶ
οὺς ἐν Πλαταιαῖς παραταξαμένους'. οὐδαμοῦ 'νικήσαντας' εἶπεν,
ἀλλὰ πάντῃ τὸ τοῦ τέλους διακέκλοφεν ὄνομα, ἐπειδήπερ ἦν εὐτυ-

4 μεθιστὰς Manutius | βάθος Ruhnkenius βάρος Weiskius | 5 παιώνιον Morus | 6 κουφιζομένοις Hudsonus | 15 ἐστ' Manutius: ἔτ' P | 17 ἀποθανατίσας P ἀπαθανατίσας P | 23 ὅρκων del. Kayserus n. iahrb LXX p. 292 | ὑπήντα τις τῷ Faber | 24 num τί λέγεις; | λέγεις λέγεις P | ταῦτα τὰ ἑξῆς Toupius | 25 καὶ τὰ ὀνόματα Reiskius | καὶ ἐνταῦθα διδάσκων Faber | 27 καὶ τοὺς ἐπ' Manutius

10 EUPOLIS DEMIS | 12 cf. EURIPIDES MED. 396. 399
οὐ γὰρ μὰ τὴν δέσποιναν, ἣν ἐγὼ σέβω,
χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ |
26 EURIPIDES BACCH. 317 καὶ γὰρ ἐν βακχεύμασιν οὖσ' ἥ γε σώφρων οὐ διαφθαρήσεται.

15 τοῦ πείθειν ὅρον ὑπερβέβηκε τῷ λήμματι. φύσει δέ πως ἐν τοῖς 11
τοιούτοις ἅπασιν ἀεὶ τοῦ κρείττονος ἀκούομεν, ὅθεν ἀπὸ τοῦ ἀποδεικτικοῦ περιελκόμεθα εἰς τὸ κατὰ φαντασίαν ἐκπληκτικόν, ᾧ τὸ πραγματικὸν ἐγκρύπτεται περιλαμπόμενον. καὶ τοῦτ' οὐκ ἀπεικότως πάσχομεν· δυεῖν γὰρ συνταττομένων ὑφ' ἓν ἀεὶ τὸ κρεῖττον εἰς ἑαυτὸ τὴν θατέρου δύναμιν περισπᾷ.

Τοσαῦτα περὶ τῶν κατὰ τὰς νοήσεις ὑψηλῶν καὶ ὑπὸ μεγα- 12
λοφροσύνης μιμήσεως ἢ φαντασίας ἀπογεννωμένων ἀρκέσει.

Αὐτόθι μέντοι καὶ ὁ περὶ σχημάτων ἐφεξῆς τέτακται τόπος· 16
καὶ γὰρ ταῦτ', ἂν ὃν δεῖ σκευάζηται τρόπον, ὡς ἔφην, οὐκ ἂν ἡ τυχοῦσα μεγέθους εἴη μερίς. οὐ μὴν ἀλλ' ἐπεὶ τὸ πάντα διακριβοῦν πολύεργον ἐν τῷ παρόντι, μᾶλλον δ' ἀπεριόριστον, ὀλίγα τῶν ὅσα μεγαληγορίας ἀποτελεστικὰ τοῦ πιστώσασθαι τὸ προκείμενον ἕνεκα καὶ δὴ διέξιμεν. ἀπόδειξιν ὁ Δημοσθένης ὑπὲρ τῶν πεπολι- 2
τευμένων εἰσφέρει. τίς δ' ἦν ἡ κατὰ φύσιν χρῆσις αὐτῆς; 'οὐχ ἡμάρτετε, ὦ τὸν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἀγῶνα ἀράμενοι· ἔχετε δὲ οἰκεῖα τούτου παραδείγματα· οὐδὲ γὰρ οἱ ἐν Μαραθῶνι ἥμαρτον οὐδ' οἱ ἐν Σαλαμῖνι οὐδ' οἱ ἐν Πλαταιαῖς'. ἀλλ' ἐπειδὴ καθάπερ ἐμπνευσθεὶς ἐξαίφνης ὑπὸ θεοῦ καὶ οἱονεὶ φοιβόληπτος γενόμενος τὸν τῶν ἀριστέων τῆς Ἑλλάδος ὅρκον ἐξεφώνησεν 'οὐκ ἔστιν ὅπως ἡμάρτετε, μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας', φαίνεται
190 r. δι' ἑ|νὸς τοῦ ὀμοτικοῦ σχήματος, ὅπερ ἐνθάδε ἀποστροφὴν ἐγὼ

1 ὑπερβέβηκε* P | 7 καὶ del. Morus | 8 μιμήσεως 'deest duorum quae capp. 10. 11 exposuit mentio' Spengelius | 9 περὶ σχημάτων P in marg. | ἐμφερὴς Manutius | 14 διέξ*μεν P διέξιμεν P | 20 τὸν κατὰ τῶν Toupius | 21 ἥμαρτε P | 22 ἀποστροφή P in marg.

9 QUINTILIANUS IX, 3, 89 haec omnia ⟨de figuris verborum et sententiarum⟩ copiosius sunt executi qui non ut partem operis transcurrerunt, sed proprie libros huic operi dedicaverunt sicut Caecilius Dionysius Rutilius Cornificius Visellius aliique non pauci. | 14 DEMOSTHENES DE COR. 208 ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστιν ὅπως ἡμάρτετε, ἄνδρες Ἀθηναῖοι, τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἀράμενοι, μὰ τοὺς Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους καὶ τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας καὶ τοὺς ἐπ' Ἀρτεμισίῳ καὶ πολλοὺς ἑτέρους τοὺς ἐν τοῖς δημοσίοις μνήμασι κειμένους ἀγαθοὺς ἄνδρας, οὓς ἅπαντας ὁμοίως ἡ πόλις τῆς αὐτῆς ἀξιώσασα τιμῆς ἔθαψεν, Αἰσχίνη, οὐχὶ τοὺς κατορθώσαντας αὐτῶν οὐδὲ τοὺς κρατήσαντας μόνους. | 22 QUINTILIANUS IX, 2, 38 aversus quoque a iudice sermo, qui dicitur ἀποστροφή, mire movet, sive adversarios invadimus, sive ad invocationem aliquam convertimur, sive ad invidiosam implorationem.

καλῶ, τοὺς μὲν προγόνους ἀποθεώσας, ὅτι δεῖ τοὺς οὕτως ἀποθανόντας ὡς θεοὺς ὀμνύναι παριστάνων, τοῖς δὲ κρίνουσι τὸ τῶν ἐκεῖ 16 προκινδυνευσάντων ἐντιθεὶς φρόνημα, τὴν δὲ τῆς ἀποδείξεως φύσιν μεθεστακὼς εἰς ὑπερβάλλον ὕψος καὶ πάθος καὶ ξένων καὶ ὑπερφυῶν ὅρκων ἀξιοπιστίαν, καὶ ἅμα παιώνειόν τινα καὶ ἀλεξιφάρμακον εἰς τὰς ψυχὰς τῶν ἀκουόντων καθιεὶς λόγον, ὡς κουφιζομένους ὑπὸ τῶν ἐγκωμίων μηδὲν ἔλαττον τῇ μάχῃ τῇ πρὸς Φίλιππον ἢ ἐπὶ τοῖς κατὰ Μαραθῶνα καὶ Σαλαμῖνα νικητηρίοις παρίστασθαι φρονεῖν· οἷς πᾶσι τοὺς ἀκροατὰς διὰ τοῦ σχηματισμοῦ συναρπάσας ᾤχετο. καίτοι παρὰ τῷ Εὐπόλιδι τοῦ ὅρκου τὸ σπέρμα φασὶν

3 εὑρῆσθαι

οὐ γὰρ μὰ τὴν Μαραθῶνι τὴν ἐμὴν μάχην,
χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.

ἔστι δ' οὐ τὸ ὁπωσοῦν τινὰ ὀμόσαι μέγα, τὸ δὲ ποῦ καὶ πῶς καὶ ἐφ' ὧν καιρῶν καὶ τίνος ἕνεκα. ἀλλ' ἐκεῖ μὲν οὐδέν ἐστ' εἰ μὴ ὅρκος, καὶ πρὸς εὐτυχοῦντας ἔτι καὶ οὐ δεομένους παρηγορίας τοὺς Ἀθηναίους· ἔτι δ' οὐχὶ τοὺς ἄνδρας ἀπαθανατίσας ὁ ποιητὴς ὤμοσεν, ἵνα τῆς ἐκείνων ἀρετῆς τοῖς ἀκούουσιν ἐντέκῃ λόγον ἄξιον, ἀλλ' ἀπὸ τῶν προκινδυνευσάντων ἐπὶ τὸ ἄψυχον ἀπεπλανήθη, τὴν μάχην. παρὰ δὲ τῷ Δημοσθένει πεπραγμάτευται πρὸς ἡττημένους ὁ ὅρκος, ὡς μὴ Χαιρώνειαν ἔτ' Ἀθηναίοις ἀτύχημα φαίνεσθαι, καὶ | ταὐτόν, 190v.
ὡς ἔφην, ἅμα ἀπόδειξίς ἐστι τοῦ μηδὲν ἡμαρτηκέναι, παράδειγμα,
4 ὅρκων πίστις, ἐγκώμιον προτροπή, κἀπειδήπερ ὑπήντα τῷ ῥήτορι 'λέγεις ἧτταν πολιτευσάμενος, εἶτα νίκας ὀμνύεις'; διὰ ταῦθ' ἑξῆς κανονίζει καὶ δι' ἀσφαλείας ἄγει καὶ ὀνόματα, διδάσκων ὅτι κἂν βακχεύμασι νήφειν ἀναγκαῖον. 'τοὺς προκινδυνεύσαντας' φησί 'Μαραθῶνι καὶ τοὺς Σαλαμῖνι καὶ ἐπ' Ἀρτεμισίῳ ναυμαχήσαντας, καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους'. οὐδαμοῦ 'νικήσαντας' εἶπεν, ἀλλὰ πάντῃ τὸ τοῦ τέλους διακέκλοφεν ὄνομα, ἐπειδήπερ ἦν εὐτυ-

4 μεθιστὰς Manutius | βάθος Ruhnkenius βάρος Weiskius | 5 παιώνιον Morus | 6 κουφιζομένοις Hudsonus | 15 ἐστ' Manutius: ἔτ' P | 17 ἀποθανατίσας P ἀπαθανατίσας P | 23 ὅρκων del. Kayserus n. iahrb. LXX p. 292 | ὑπήντα τις τῷ Faber | 24 num τί λέγεις; | λέγεις λέγεις P | ταῦτα τὰ ἑξῆς Toupius | 25 καὶ τὰ ὀνόματα Reiskius | καὶ ἐνταῦθα διδάσκων Faber | 27 καὶ τοὺς ἐπ' Manutius

10 EUPOLIS DEMIS | 12 cf. EURIPIDES MED. 396. 399
οὐ γὰρ μὰ τὴν δέσποιναν, ἣν ἐγὼ σέβω,
χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ |
26 EURIPIDES BACCH. 317 καὶ γὰρ ἐν βακχεύμασιν οὖσ' ἥ γε σώφρων οὐ διαφθαρήσεται.

16 χὲς καὶ τοῖς κατὰ Χαιρώνειαν ὑπεναντίον. διόπερ καὶ τὸν ἀκροατὴν
φθάνων εὐθὺς ὑποφέρει· ‘οὓς ἅπαντας ἔθαψε δημοσίᾳ’ φησίν· ‘ἡ πό-
λις, Αἰσχίνη, οὐχὶ τοὺς κατορθώσαντας μόνους’.

Οὐκ ἄξιον ἐπὶ τούτου τοῦ τόπου παραλιπεῖν ἕν τι τῶν ἡμῖν 17
τεθεωρημένων, φίλτατε, ἔσται δὲ πάνυ σύντομον, ὅτι φύσει πως
συμμαχεῖ τε τῷ ὕψει τὰ σχήματα καὶ πάλιν ἀντισυμμαχεῖται
θαυμαστῶς ὑπ' αὐτοῦ. πῇ δὲ καὶ πῶς, ἐγὼ φράσω. ὕποπτόν
ἐστιν ἰδίως τὸ διὰ σχημάτων πανουργεῖν καὶ προσβάλλον ὑπόνοιαν
ἐνέδρας ἐπιβουλῆς παραλογισμοῦ. καὶ ταῦθ' ὅταν ᾖ πρὸς κριτὴν
κύριον ὁ λόγος, μάλιστα δὲ πρὸς τυράννους βασιλέας ἡγεμόνας ἐν
ὑπεροχαῖς· ἀγανακτεῖ γὰρ εὐθύς, εἰ ὡς παῖς ἄφρων ὑπὸ τεχνίτου
191 r. ῥήτορος σχηματίοις κατασοφίζεται, καὶ εἰς καταφρό|νησιν ἑαυτοῦ
λαμβάνων τὸν παραλογισμὸν ἐνίοτε μὲν ἀποθηριοῦται τὸ σύνολον,
κἂν ἐπικρατήσῃ δὲ τοῦ θυμοῦ, πρὸς τὴν πειθὼ τῶν λόγων πάντως
ἀντιδιατίθεται. διόπερ καὶ τότε ἄριστον δοκεῖ τὸ σχῆμα, ὅταν αὐτὸ
τοῦτο διαλανθάνῃ, ὅτι σχῆμά ἐστι. τὸ τοίνυν ὕψος καὶ πάθος τῆς 2
ἐπὶ τῷ σχηματίζειν ὑπονοίας ἀλέξημα καὶ θαυμαστή τις ἐπικουρία
καθίσταται, καί πως παραληφθεῖσα ἡ τοῦ πανουργεῖν τέχνη τοῖς
πάθεσι καὶ μεγέθεσι τὸ λοιπὸν δέδυκε καὶ πᾶσαν ὑποψίαν ἐκπέ-
φευγεν. ἱκανὸν δὲ τεκμήριον τὸ προειρημένον ‘μὰ τοὺς ἐν Μαρα-
θῶνι’. τίνι γὰρ ἐνταῦθ' ὁ ῥήτωρ ἀπέκρυψε τὸ σχῆμα; δῆλον ὅτι
τῷ φωτὶ αὐτῷ. σχεδὸν γὰρ ὥσπερ καὶ τἀμυδρὰ φέγγη ἐναφανί-
ζεται τῷ ἡλίῳ περιαυγούμενα, οὕτω τὰ τῆς ῥητορικῆς σοφίσματα
ἐξαμαυροῖ περιχυθὲν πάντοθεν τὸ μέγεθος. οὐ πόρρω δ' ἴσως τούτου
καὶ ἐπὶ τῆς ζωγραφίας τι συμβαίνει· ἐπὶ γὰρ τοῦ αὐτοῦ κειμένων
ἐπιπέδου παραλλήλων ἐν χρώμασι τῆς σκιᾶς τε καὶ τοῦ φωτός,
ὅμως προϋπαντᾷ τε τὸ φῶς ταῖς ὄψεσι καὶ οὐ μόνον ἔξοχον ἀλλὰ
καὶ ἐγγυτέρω παρὰ πολὺ φαίνεται. οὐκοῦν καὶ τῶν λόγων τὰ
πάθη καὶ τὰ ὕψη, ταῖς ψυχαῖς ἡμῶν ἐγγυτέρω κείμενα διά τε
φυσικήν τινα συγγένειαν καὶ διὰ λαμπρότητα, ἀεὶ τῶν σχημάτων

2 ἐπιφέρει Ruhnkenius | 6 συμμαχεῖ τε Schurzfleischius: συμμαχεῖται P | πάλιν αὖ συμμαχεῖται Nolteius ztschr. f. alterth. wiss. 1854 p. 304 | 7 ἀεί πως vel ἰδιώταις Nolteius | 9 καὶ ταῦτα καὶ ὅταν Kayserus n. iahrb. LXX p. 294 | 10 ἡγεμόνας τοὺς ἐν ἐπαρχίαις Faber | 12 σχημάτιον P in marg. | 15 ὅταν — σχῆμα om. in marg. add. P | 18 παραληφθεῖσα ἡ Tollius: παραληφθεῖσαν P παραληφθεῖσ' ἂν Schurzfleischius παρακαλυφθεῖσα ἡ Ruhnkenius παραλειφθεῖσα ἡ Toupius παρεκλειφθεῖσα Wakefieldus silv. crit. I p. 109 περιληφθεῖσα Kayserus n. iahrb. LXX p. 294 | 19 πάθεσι Tollius: κάλλεσι P | ὑποδέδυκε Manutius | 27 καὶ οὐ μόνον Victorius Boivinus: καιόμενον P | 29 οὐκ ἐγγυτέρω Weiskius

προεμφανίζεται καὶ τὴν τέχνην αὐτῶν ἐπισκιάζει καὶ οἷον ἐν κατα- 17
λήψει τηρεῖ.

18 Τί δ' ἐκεῖνα φῶμεν, τὰς πεύσεις τε καὶ ἐρωτήσεις; ἆρα οὐκ
αὐταῖς ταῖς τῶν σχημάτων εἰδοποιΐαις παρὰ πολὺ ἐμπρακτότερα
καὶ σοβαρώ|τερα συντείνει τὰ λεγόμενα; 'ἢ βούλεσθε, εἰπέ μοι, πε- 191v.
ριϊόντες ἀλλήλων πυνθάνεσθαι· λέγεταί τι καινόν; τί γὰρ ἂν γένοιτο
τούτου καινότερον ἢ Μακεδὼν ἀνὴρ καταπολεμῶν τὴν Ἑλλάδα;
τέθνηκε Φίλιππος; οὐ μὰ Δί'. ἀλλ' ἀσθενεῖ; τί δ' ὑμῖν διαφέρει;
καὶ γὰρ ἂν οὗτός τι πάθῃ, ταχέως ὑμεῖς ἕτερον Φίλιππον ποιήσετε'.
καὶ πάλιν 'πλέωμεν ἐπὶ Μακεδονίαν' φησί. 'ποῖ δὴ προσορμιούμεθα,
ἤρετό τις. εὑρήσει τὰ σαθρὰ τῶν Φιλίππου πραγμάτων αὐτὸς ὁ
πόλεμος'. ἦν δὲ ἁπλῶς ῥηθὲν τὸ πρᾶγμα τῷ παντὶ καταδεέστερον,
νυνὶ δὲ τὸ ἔνθουν καὶ ὀξύρροπον τῆς πεύσεως καὶ ἀποκρίσεως καὶ τὸ
πρὸς ἑαυτὸν ὡς πρὸς ἕτερον ἀνθυπαντᾶν οὐ μόνον ὑψηλότερον ἐποίησε
τῷ σχηματισμῷ τὸ ῥηθέν, ἀλλὰ καὶ πιστότερον. ἄγει γὰρ τὰ πα-
2 θητικὰ τότε μᾶλλον, ὅταν αὐτὰ φαίνηται μὴ ἐπιτηδεύειν αὐτὸς ὁ
λέγων, ἀλλὰ γεννᾶν ὁ καιρός, ἡ δ' ἐρώτησις ἡ εἰς ἑαυτὸν καὶ ἀπό-
κρισις μιμεῖται τοῦ πάθους τὸ ἐπίκαιρον. σχεδὸν γὰρ ὡς οἱ ὑφ'
ἑτέρων ἐρωτώμενοι παροξυνθέντες ἐκ τοῦ παραχρῆμα πρὸς τὸ λεχθὲν
ἐναγωνίως καὶ ἀπ' αὐτῆς τῆς ἀληθείας ἀνθυπαντῶσιν, οὕτως τὸ
σχῆμα τῆς πεύσεως καὶ ἀποκρίσεως εἰς τὸ δοκεῖν ἕκαστον τῶν
ἐσκεμμένων ἐξ ὑπογύου κεκινῆσθαί τε καὶ λέγεσθαι τὸν ἀκροατὴν
ἀπάγον καὶ παραλογίζεται. ἔτι τοίνυν — ἓν γάρ τι τῶν ὑψηλο-
τάτων τὸ ἡροδότειον πεπίστευται — εἰ οὕτως ε * *

19 * * πλοκα ἐκπίπτει καὶ οἱονεὶ προχεῖται τὰ λεγόμενα, ὀλίγου 192r.

1 ἐπισκιάζει Reiskius Finckhius n. iahrb. LXIX p. 638: ἀποσκιάζει P | καταλήψει ς: κατακαλύψει P κάλυξι Valckenaerius Nolteius ztschr. f. alterth. wiss. 1854 p. 304 ἀκαταληψίᾳ Kayserus n. iahrb. LXX p. 294 | 3 τε καὶ ἀποκρίσεις G. S. A. class. journ. III, 5 p. 68 | 4 οὐ ταύταις G. S. A. | 6 αὐτῶν codd. Demosthenis | γένοιτο γὰρ ἄν τι καινότερον codd. Demosthenis | 7 τούτου del Pearcius | ἀνὴρ Ἀθηναίοις καταπολεμῶν καὶ τὰ τῶν Ἑλλήνων διοικῶν; codd. Demosthenis | 10 οὐκ ἐπὶ τὴν ἐκείνου πλευσόμεθα; codd. Demosthenis | ποῖ οὖν codd. Demosthenis | 11 ἤρετό τις del. Pearcius | σαθρὰ ὦ ἄνδρες Ἀθηναῖοι τῶν ἐκείνου πραγμάτων codd. Demosthenis | 16 μάλιστα Spengelius | αὐτὸς ὁ καιρός Spengelius | 18 ὡς οἱ Faber: ὅσοι P ὅσοι Petra | 19 παροξυνθέντες Morus: παροξύνοντες P | 21 ἐκ τοῦ δοκεῖν Toupius | 23 ἀπά*ον P ἀπάγον P ἀπάγει Robortellus | καὶ del. Schurzfleischius | 27 ἄπλοκα Manutius

5 DEMOSTHENES PHIL. I, 10 | 10 DEMOSTHENES PHIL. I, 44

14 ἡμῖν κατὰ ζῆλον ἐκεῖνα τὰ πρόσωπα καὶ οἷον| διαπρέποντα, τὰς
187v. ψυχὰς ἀνοίσει πως πρὸς τὰ ἀνειδωλοποιούμενα μέτρα· ἔτι δὲ μᾶλ- 2
λον, εἰ κἀκεῖνο τῇ διανοίᾳ προσυπογράφοιμεν, πῶς ἂν τόδε τι ὑπ'
ἐμοῦ λεγόμενον παρὼν Ὅμηρος ἤκουσεν ἢ Δημοσθένης, ἢ πῶς ἂν
ἐπὶ τούτῳ διετέθησαν· τῷ γὰρ ὄντι μέγα τὸ ἀγώνισμα, τοιοῦτον
ὑποτίθεσθαι τῶν ἰδίων λόγων δικαστήριον καὶ θέατρον καὶ ἐν τηλι-
κούτοις ἥρωσι κριταῖς τε καὶ μάρτυσιν ὑπέχειν τῶν γραφομένων
εὐθύνας †πεπαῖχθαι. πλέον δὲ τούτων παρορμητικόν, εἰ προστιθείης, 3
πῶς ἂν ἐμοῦ ταῦτα γράψαντος ὁ μετ' ἐμὲ πᾶς ἀκούσειεν αἰών; εἰ
δέ τις αὐτόθεν φοβοῖτο, μὴ τοῦ ἰδίου βίου καὶ χρόνου φθέγξαιτό
τι ὑπερήμερον, ἀνάγκη καὶ τὰ συλλαμβανόμενα ὑπὸ τῆς τούτου
ψυχῆς ἀτελῆ καὶ τυφλὰ ὥσπερ ἀμβλοῦσθαι, πρὸς τὸν τῆς ὑστερο-
φημίας ὅλως μὴ τελεσφορούμενα χρόνον.

Ὄγκου καὶ μεγαληγορίας καὶ ἀγῶνος ἐπὶ τούτοις, ὦ Τερεντιανέ, 15
καὶ αἱ φαντασίαι παρασκευαστικώταται· οὕτω γοῦν εἰδωλοποιίας
αὐτὰς ἔνιοι λέγουσι. καλεῖται μὲν γὰρ κοινῶς φαντασία πᾶν τὸ
ὁπωσοῦν ἐννόημα γεννητικὸν λόγου παριστάμενον· ἤδη δ' ἐπὶ τού-
των κεκράτηκε τοὔνομα, ὅταν ἃ λέγεις ὑπ' ἐνθουσιασμοῦ καὶ πά-

1 διατρέποντα Reiskius | 2 μετέωρα Langbainius | 3 τόδε τὸ Morus | 5 τοῦτο P τούτῳ P | 8 πεπ**χθαι P πεπαῖχθαι P om. Robortellus asterisco posito, del. Spengelius τετάχθαι Morus πεπεῖσθαι Reiskius προσῆχθαι Weiskius f. καὶ μὴ παῖξαι Manutius καὶ μὴ πταῖσαι Langbainius | 10 οὐ φθέγξαιτο Pearcius | 13 ὅλης Manutius ὅλον G. S. A. class. journ. III, 5 p. 67 | 14 ὦ Τερεντιανὲ Schurzfleischius: ὦ νεανία P ὦ γενναῖε Steinheilius | 15 τὰς εἰδωλοποιίας Dobreeus adv. I p. 565 εἰδωλοποιοὺς Reiskius | 16 αὐτὰς del. Morus 17 ἐννοήματι Spengelius | ἰδίως δ' Manutius | 18 λέγεις Spengelius: λέγῃς P

15 QUINTILIANUS VI, 2, 29 quas φαντασίας Graeci vocant, nos sane visiones appellemus, per quas imagines rerum absentium ita repraesententur animo, ut eas cernere oculis ac praesentes habere videamur. has quisquis bene conceperit, is erit in affectibus potentissimus. hunc quidam dicunt εὐφαντασίωτον. cf. XII, 10, 6 concipiendis visionibus, quas φαντασίας vocant, Theon Samius praestantissimus. | HERMOGENES PROGYMN. 9 εἰδωλοποιίαν δέ φασιν ἐκεῖνο, ὅταν τοῖς τεθνεῶσι λόγους περιάπτωμεν. APHTHON. PROGYMN. 11 εἰδωλοποιία δὲ ⟨ἠθοποιία⟩ ἡ πρόσωπον μὲν ἔχουσα γνώριμον τεθνεὸς δὲ καὶ τοῦ λέγειν παυσάμενον· ὡς ἐν Δήμοις Εὔπολις ἔπλασεν καὶ Ἀριστείδης ἐν τῷ ὑπὲρ τῶν τεσσάρων· ὅθεν καὶ εἰδωλοποιία προσαγορεύεται. cf PLATONIUS DE CHAR. 2 Εὔπολις δὲ εὐφάνταστος μὲν εἰς ὑπερβολήν ἐστι κατὰ τὰς ὑποθέσεις. τὰς γὰρ εἰσηγήσεις μεγάλας τῶν δραμάτων ποιεῖται καὶ ἥνπερ ἐν τῇ παραβάσει φαντασίαν κινοῦσιν οἱ λοιποί, ταύτην ἐκεῖνος ἐν τοῖς δράμασιν, ἀναγεῖν ἱκανὸς ὢν ἐξ Αἴδου νομοθετῶν πρόσωπα καὶ δι' αὐτῶν εἰσηγούμενος ἢ περὶ θέσεως νόμων ἢ καταλύσεως.

2 θους βλέπειν δοκῇς καὶ ὑπ' ὄψιν τιθῇς τοῖς ἀκούουσιν. ὡς δ' ἕτε- 15
ρόν τι ἡ ῥητορικὴ φαντασία βούλεται καὶ ἕτερον ἡ παρὰ ποιηταῖς, οὐκ ἂν λάθοι σε, οὐδ' ὅτι τῆς | μὲν ἐν ποιήσει τέλος ἐστὶν ἔκπληξις, 188 r.
τῆς δ' ἐν λόγοις ἐνάργεια, ἀμφότεραι δ' ὅμως τό τε * ἐπιζητοῦσι καὶ τὸ συγκεκινημένον.

ὦ μῆτερ ἱκετεύω σε, μὴ 'πίσειέ μοι
τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας·
αὗται γάρ, αὗται πλησίον θρώσκουσί μου.

καὶ

οἴ μοι, κτανεῖ με· ποῖ φύγω;

ἐνταῦθ' ὁ ποιητὴς αὐτὸς εἶδεν Ἐρινύας· ὃ δ' ἐφαντάσθη, μικροῦ δεῖν
3 θεάσασθαι καὶ τοὺς ἀκούοντας ἠνάγκασεν. ἔστι μὲν οὖν φιλοπονώτατος ὁ Εὐριπίδης δύο ταυτὶ πάθη, μανίας τε καὶ ἔρωτας, ἐκτραγῳδῆσαι κἀν τούτοις, ὡς οὐκ οἶδ' εἴ τισιν ἑτέροις, ἐπιτυχέστατος, οὐ μὴν ἀλλὰ καὶ ταῖς ἄλλαις ἐπιτίθεσθαι φαντασίαις οὐκ ἄτολμος. ἥκιστά γέ τοι μεγαλοφυὴς ὢν ὅμως τὴν αὐτὸς αὑτοῦ φύσιν ἐν πολλοῖς γενέσθαι τραγικὴν προσηνάγκασε καὶ παρ' ἕκαστα ἐπὶ τῶν μεγεθῶν, ὡς ὁ ποιητής,

οὐρῇ δὲ πλευράς τε καὶ ἰσχίον ἀμφοτέρωθεν
μαστίεται, ἓὲ δ' αὐτὸν ἐποτρύνει μαχέσασθαι.

4 τῷ γοῦν Φαέθοντι παραδιδοὺς τὰς ἡνίας ὁ Ἥλιος

ἔλα δὲ μήτε λιβυκὸν αἰθέρ' εἰσβαλών·
κρᾶσιν γὰρ ὑγρὰν οὐκ ἔχων ἁψῖδα σὴν
κάτω διήσει

φησίν, εἶθ' ἑξῆς,

ἵει δ' ἐφ' ἑπτὰ Πλειάδων ἔχων δρόμον.
. . . . . . . . .
τοσαῦτ' ἀκούσας εἶτ' ἔμαρψεν ἡνίας·
κρούσας δὲ πλευρὰ πτεροφόρων ὀχημάτων

2 ἢ παρὰ P | 3 λάθοι* P | ἐμποιήσει P | ἔμπληξις Robortellus | 4 τό τ' ἔνθεον Morus ταὐτὸν Toupius ταὐτὸ τοῦτ' Weiskius τοῦτο τε Gennadius τό τε παθητικὸν Kayserus n. iahrb. LXX p. 293 | 11 οὐκ εἶδεν Manutius | ὃ δ' Manutius: ὁ δὲ P | 14 εἴ τις ἕτερος Stanleius in vita Aesch. p. 64 Butl. ἑτέ*ροις P | 18 ἐπὶ del. Morus ἔστι Vaucherus | 19 ἰσχία codd. Homeri | 20 ἓὲ codd. Homeri: ἓ P | μαχέσασθαι codd. Homeri: μάχεσθαι P | 23 ἁψῖδα σὴν Faber: ἁψίδας ἣν P | 24 διήσει Faber: δίεισι P | post 26 quaedam omisit scriptor | 27 τοσαῦ* P τ add. p | εἶτ' ἔμαρψεν Manutius: τίς ἔμαρψεν P παῖς ἔμαρψεν Grotius χέρσ' ἔμαρψεν Salmasius exerc. Plin. p. 630 τὰς ἔμαρψεν G. S. A. class. journ. III, 5 p. 67 | 29 πλευρὰν Robortellus

6 EURIPIDES OREST. 241 | 10 IPHIG. TAUR. 291 | 18 HOMERUS IL. Υ, 170 | 21 EURIPIDES PHAETH.

μεθῆκεν, αἱ δ' ἔπταντ' ἐπ' αἰθέρος πτύχας.
πατὴρ δ' ὄπισθε νῶτα σειραίου βεβὼς
ἵππευε παῖδα νουθετῶν· ἐκεῖσ' ἔλα,
τῇδε στρέφ' ἅρμα, τῇδε.

188v. ἆρ' οὐκ ἂν εἴποις, ὅτι ἡ ψυχὴ τοῦ γράφοντος συνε|πιβαίνει τοῦ ἅρματος καὶ συγκινδυνεύουσα τοῖς ἵπποις συνεπτέρωται; οὐ γὰρ ἄν, εἰ μὴ τοῖς οὐρανίοις ἐκείνοις ἔργοις ἰσοδρομοῦσα ἐφέρετο, τοιαῦτ' ἄν ποτε ἐφαντάσθη. ὅμοια καὶ τὰ ἐπὶ τῆς Κασσάνδρας αὐτῷ

ἀλλ', ὦ φίλιπποι Τρῶες .....

τοῦ δ' Αἰσχύλου φαντασίαις ἐπιτολμῶντος ἡρωϊκωτάταις, ὥσπερ οἱ ἑπτὰ ἐπὶ Θήβας παρ' αὐτῷ — 'ἄνδρες' φησίν 5

'ἑπτὰ θούριοι λοχαγέται,
ταυροσφαγοῦντες εἰς μελάνδετον σάκος
καὶ θιγγάνοντες χερσὶ ταυρείου φόνου
Ἄρην τ' Ἐνυὼ καὶ φιλαίματον Φόβον
ὁρκωμότησαν' —

τὸν ἴδιον αὐτῶν πρὸς ἀλλήλους δίχα οἴκτου συνομνύμενοι θάνατον, ἐνίοτε μέντοι ἀκατεργάστους καὶ οἱονεὶ ποκοειδεῖς τὰς ἐννοίας καὶ ἀμαλάκτους φέροντος, ὅμως ἑαυτὸν ὁ Εὐριπίδης κἀκείνοις ὑπὸ φιλοτιμίας 6
τοῖς κινδύνοις προσβιβάζει. καὶ παρὰ μὲν Αἰσχύλῳ παραδόξως τὰ τοῦ Λυκούργου βασίλεια κατὰ τὴν ἐπιφάνειαν τοῦ Διονύσου θεοφορεῖται

ἐνθουσιᾷ δὴ δῶμα, βακχεύει στέγη·

ὁ δ' Εὐριπίδης τὸ αὐτὸ τοῦθ' ἑτέρως ἐφηδύνας ἐξεφώνησε

πᾶν δὲ συνεβάκχευ' ὄρος.

ἄκρως δὲ καὶ ὁ Σοφοκλῆς ἐπὶ τοῦ θνήσκοντος Οἰδίπου καὶ ἑαυτὸν μετὰ διοσημείας τινὸς θάπτοντος πεφάντασται, καὶ κατὰ τὸν ἀπό- 7
πλουν τῶν Ἑλλήνων ἐπὶ τοῦ Ἀχιλλέως προφαινομένου τοῖς ἀναγο-

1 ἔπταντο P | 2 ὄπισθεν ὦτα P | 2 σειραίου Rutgersius var. lect. I, 10: σειρίος P | σείρ' ἐμβεβὼς Ravius de Eurip. Phaet. p. 37 | 3 ἔλα τῇδε στρέφ' Portus: ἐλατῆρα ἔστρεφ' P ἔλα, τήρει, στρέφ' Bergkius de rell. com. att. ant. p. 397 ἔλα στρέφ' Hartungus Eurip. restit. II p. 202 | 6 συ*κινδυνεύουσα P συγκινδυνεύουσα P | ἀνεπτέρωται Schaeferus | 9 reliqua omisit scriptor | 10 οἱ Manutius: καὶ P | 14 θιγγανοντισχερσι P ο corr. in ω | 17 αὐτῶν P | 18 ἀμαλάκτους φέροντος Manutius: ἀναλλάκτους φέροντας P | 19 φιλ***μίας P φιλοτιμίας P | αἰ*σχύλῳ P | 21 θεοφ*ρεῖται P θεοφορεῖται P | 24 συνεβάκχευ' Porsonus advers. p. 266: συνεβάκχευεν P συνεβάκχευσ' codd. Euripidis | 25 οἰδ**που P οἰδίπου P | 26 μεταξὺ Reiskius | 27 ἐπὶ τοῦ Ἀχιλλέως scripsi: ἔπειτ' Ἀχιλλέως P ἐπί τ' Ἀχιλλέως Tollius

11 AESCHYLUS SEPT. 42 | 17 SEPT. 51 οἶκτος δ' οὔτις ἦν διὰ στόμα | 20 AESCHYLUS LYCURGIA | 23 EURIPIDES BACCH. 726 (716) | 25 SOPHOCLES OEDIP. COL. 1586 | 27 PORPHYRIUS (IOANN. STOB. ECL. 1, 41, 50) Σοφοκλῆς ἐν Πολυξένῃ τὴν ⟨om. codd.⟩ τοῦ Ἀχιλλέως ψυχὴν εἰσάγει.

μένοις ὑπὲρ τοῦ τάφου, ἣν οὐκ οἶδ' εἴ τις ὄψιν ἐναργέστερον εἰδω- 15
8 λοποίησε Σιμωνίδου· πάντα δ' ἀμήχανον παρατίθεσθαι. οὐ μὴν ἀλλὰ τὰ μὲν παρὰ τοῖς ποιηταῖς μυθικωτέ|ραν ἔχει τὴν ὑπερέκ- 189 r. πτωσιν, ὡς ἔφην, καὶ πάντη τὸ πιστὸν ὑπεραίρουσαν, τῆς δὲ ῥητο- Κζ ρικῆς φαντασίας κάλλιστον ἀεὶ τὸ ἔμπρακτον καὶ ἐνάληθες. δειναὶ δὲ καὶ ἔκφυλοι αἱ παραβάσεις, ἡνίκ' ἂν ᾖ ποιητικὸν τοῦ λόγου καὶ μυθῶδες τὸ πλάσμα καὶ εἰς πᾶν προσεκπίπτον τὸ ἀδύνατον, ὡς ἤδη νὴ Δία καὶ οἱ καθ' ἡμᾶς δεινοὶ ῥήτορες, καθάπερ οἱ τραγῳδοί, βλέπουσιν Ἐρινύας καὶ οὐδὲ ἐκεῖνο μαθεῖν οἱ γενναῖοι δύνανται, ὅτι ὁ λέγων [Ὀρέστης]

μέθες, μί' οὖσα τῶν ἐμῶν Ἐρινύων·
μέσον μ' ὀχμάζεις, ὡς βάλῃς ἐς τάρταρον

9 φαντάζεται ταῦθ' ὅτι μαίνεται. τί οὖν ἡ ῥητορικὴ φαντασία δύναται; πολλὰ μὲν ἴσως καὶ ἄλλα τοῖς λόγοις ἐναγώνια καὶ ἐμπαθῆ προσεισφέρειν, κατακιρναμένη μέντοι ταῖς πραγματικαῖς ἐπιχειρήσεσιν οὐ πείθει τὸν ἀκροατὴν μόνον, ἀλλὰ καὶ δουλοῦται. 'καὶ μὴν εἴ τις' φησίν 'αὐτίκα δὴ μάλα κραυγῆς ἀκούσειε πρὸ τῶν δικαστηρίων, εἶτ' εἴποι τις, ὡς ἀνέῳκται τὸ δεσμωτήριον, οἱ δὲ δεσμῶται φεύγουσιν, οὐθεὶς οὕτως οὔτε γέρων οὔτε νέος ὀλίγωρός ἐστιν, ὃς οὐχὶ βοηθήσει καθ' ὅσον δύναται· εἰ δὲ δή τις εἴποι παρελθών, ὡς ὁ τούτους ἀφεὶς οὗτός ἐστιν, οὐδὲ λόγου τυχὼν παραυτίκ' ἂν ἀπό-
10 λοιτο'. ὡς νὴ Δία καὶ ὁ Ὑπερίδης κατηγορούμενος, ἐπειδὴ τοὺς δούλους μετὰ τὴν ἧτταν ἐλευθέρους ἐψηφίσατο, 'τοῦτο τὸ ψήφισμα' εἶπεν 'οὐχ ὁ ῥήτωρ ἔγραψεν, ἀλλ' ἡ ἐν Χαιρωνείᾳ μάχη'. ἅμα γὰρ τῷ πραγματικῶς ἐπιχειρεῖν ὁ ῥήτωρ πεφάντασται, διὸ καὶ τὸν

6 παρεκβάσεις Petra ὑπερβάσεις Faber | τὸ τοῦ λόγου Manutius | 7 προεκπίπτον Morus | ἀδύνατον Manutius: δυνατόν P | 12 τάρρον P τα add. p | 17 τις om. codd. Demosthenis | κραυγὴν ἀκούσαιτε πρὸς τῷ δικαστηρίῳ codd. Demosthenis | 19 οὐδεὶς οὔτε γέρων οὔτ' ὀλίγωρος οὕτως ἐστίν, ὅστις οὐχὶ βοηθήσειεν ἂν codd. Demosthenis | 21 ἀφιείς ἐστιν οὑτοσί codd. Demosthenis | εὐθὺς ἂν ἀπαχθεὶς θανάτῳ ζημιωθείη codd. Demosthenis | 24 χ**ρωνείᾳ P χαιρωνείᾳ P | 25 πραγματικῶς Morus: πραγματικῷ P | τῷ ἐπιχειρεῖν Reiskius

10 EURIPIDES OREST. 264 | 16 DEMOSTHENES c. TIMOCRAT. 208 | 22 [PLUTARCHUS] V. DEC. ORR. p. 849 A κριθεὶς δὲ ⟨Ὑπερείδης⟩ ὑπὸ τοῦ Ἀριστογείτονος παρανόμων ἐπὶ τῷ γράψαι μετὰ Χαιρώνειαν τοὺς μετοίκους πολίτας ποιήσασθαι, τοὺς δὲ δούλους ἐλευθέρους, ἱερὰ δὲ καὶ παῖδας καὶ γυναῖκας εἰς τὸν Πειραιᾶ ἀποθέσθαι, ἀπέφυγεν. αἰτιωμένων δέ τινων αὐτὸν ὡς παριδόντα πολλοὺς νόμους ἐν τῷ ψηφίσματι, 'ἐπισκότει' ἔφη 'μοι τὰ Μακεδόνων ὅπλα' καὶ 'οὐκ ἐγὼ τὸ ψήφισμα ἔγραψα, ἡ δ' ἐν Χαιρωνείᾳ μάχη'.

15 τοῦ πείθειν ὅρον ὑπερβέβηκε τῷ λήμματι. φύσει δέ πως ἐν τοῖς 11
τοιούτοις ἅπασιν ἀεὶ τοῦ κρείττονος ἀκούομεν, ὅθεν ἀπὸ τοῦ ἀπο-
δεικτικοῦ περιελκόμεθα εἰς τὸ κατὰ φαντασίαν ἐκπληκτικόν, ᾧ τὸ
πραγματικὸν ἐγκρύπτεται περιλαμπόμενον. καὶ τοῦτ' οὐκ ἀπεικότως
πάσχομεν· δυεῖν γὰρ συνταττομένων ὑφ' ἓν ἀεὶ τὸ κρεῖττον εἰς
ἑαυτὸ τὴν θατέρου δύναμιν περισπᾷ.

Τοσαῦτα περὶ τῶν κατὰ τὰς νοήσεις ὑψηλῶν καὶ ὑπὸ μεγα- 12
λοφροσύνης μιμήσεως ἢ φαντασίας ἀπογεννωμένων ἀρκέσει.

Αὐτόθι μέντοι καὶ ὁ περὶ σχημάτων ἐφεξῆς τέτακται τόπος· 16
καὶ γὰρ ταῦτ', ἂν ὃν δεῖ σκευάζηται τρόπον, ὡς ἔφην, οὐκ ἂν ἡ
τυχοῦσα μεγέθους εἴη μερίς. οὐ μὴν ἀλλ' ἐπεὶ τὸ πάντα διακρι-
βοῦν πολύεργον ἐν τῷ παρόντι, μᾶλλον δ' ἀπεριόριστον, ὀλίγα τῶν
ὅσα μεγαληγορίας ἀποτελεστικὰ τοῦ πιστώσασθαι τὸ προκείμενον
ἕνεκα καὶ δὴ διέξιμεν. ἀπόδειξιν ὁ Δημοσθένης ὑπὲρ τῶν πεπολι- 2
τευμένων εἰσφέρει. τίς δ' ἦν ἡ κατὰ φύσιν χρῆσις αὐτῆς; 'οὐχ
ἡμάρτετε, ὦ τὸν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἀγῶνα ἀράμενοι·
ἔχετε δὲ οἰκεῖα τούτου παραδείγματα· οὐδὲ γὰρ οἱ ἐν Μαραθῶνι
ἥμαρτον οὐδ' οἱ ἐν Σαλαμῖνι οὐδ' οἱ ἐν Πλαταιαῖς'. ἀλλ' ἐπειδὴ
καθάπερ ἐμπνευσθεὶς ἐξαίφνης ὑπὸ θεοῦ καὶ οἱονεὶ φοιβόληπτος γε-
νόμενος τὸν τῶν ἀριστέων τῆς Ἑλλάδος ὅρκον ἐξεφώνησεν 'οὐκ ἔστιν
ὅπως ἡμάρτετε, μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας', φαίνεται
190 r. δι' ἑ|νὸς τοῦ ὀμοτικοῦ σχήματος, ὅπερ ἐνθάδε ἀποστροφὴν ἐγὼ

1 ὑπερβέβηκε* P | 7 καὶ del. Morus | 8 μιμήσεως 'deest duorum quae capp. 10. 11 exposuit mentio' Spengelius | 9 περὶ σχημάτων P in marg. | ἐμφερής Manutius | 14 διέξ*μεν P διέξιμεν P | 20 τὸν κατὰ τῶν Toupius | 21 ἥμαρτε P | 22 ἀποστροφή P in marg.

9 **QUINTILIANUS IX, 3, 89** haec omnia ⟨de figuris verborum et sententiarum⟩ copiosius sunt exsecuti qui non ut partem operis transcurrerunt, sed proprie libros huic operi dedicaverunt sicut Caecilius Dionysius Rutilius Cornificius Visellius aliique non pauci. | 14 **DEMOSTHENES DE COR.** 208 ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστιν ὅπως ἡμάρτετε, ἄνδρες Ἀθηναῖοι, τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἀράμενοι, μὰ τοὺς Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους καὶ τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας καὶ τοὺς ἐπ' Ἀρτεμισίῳ καὶ πολλοὺς ἑτέρους τοὺς ἐν τοῖς δημοσίοις μνήμασι κειμένους ἀγαθοὺς ἄνδρας, οὓς ἅπαντας ὁμοίως ἡ πόλις τῆς αὐτῆς ἀξιώσασα τιμῆς ἔθαψεν, Αἰσχίνη, οὐχὶ τοὺς κατορθώσαντας αὐτῶν οὐδὲ τοὺς κρατήσαντας μόνους. | 22 **QUINTILIANUS IX, 2, 38** aversus quoque a iudice sermo, qui dicitur ἀποστροφή, mire movet, sive adversarios invadimus, sive ad invocationem aliquam convertimur, sive ad invidiosam implorationem.

καλῶ, τοὺς μὲν προγόνους ἀποθεώσας, ὅτι δεῖ τοὺς οὕτως ἀποθα- 16
νόντας ὡς θεοὺς ὀμνύναι παριστάνων, τοῖς δὲ κρίνουσι τὸ τῶν ἐκεῖ
προκινδυνευσάντων ἐντιθεὶς φρόνημα, τὴν δὲ τῆς ἀποδείξεως φύσιν
μεθεστακὼς εἰς ὑπερβάλλον ὕψος καὶ πάθος καὶ ξένων καὶ ὑπερ-
φυῶν ὅρκων ἀξιοπιστίαν, καὶ ἅμα παιώνειόν τινα καὶ ἀλεξιφάρμα-
κον εἰς τὰς ψυχὰς τῶν ἀκουόντων καθιεὶς λόγον, ὡς κουφιζομένους
ὑπὸ τῶν ἐγκωμίων μηδὲν ἔλαττον τῇ μάχῃ τῇ πρὸς Φίλιππον ἢ
ἐπὶ τοῖς κατὰ Μαραθῶνα καὶ Σαλαμῖνα νικητηρίοις παρίστασθαι φρο-
νεῖν· οἷς πᾶσι τοὺς ἀκροατὰς διὰ τοῦ σχηματισμοῦ συναρπάσας
ᾤχετο. καίτοι παρὰ τῷ Εὐπόλιδι τοῦ ὅρκου τὸ σπέρμα φασὶν
3 εὑρῆσθαι

οὐ γὰρ μὰ τὴν Μαραθῶνι τὴν ἐμὴν μάχην,
χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.

ἔστι δ' οὐ τὸ ὁπωσοῦν τινὰ ὀμόσαι μέγα, τὸ δὲ ποῦ καὶ πῶς καὶ
ἐφ' ὧν καιρῶν καὶ τίνος ἕνεκα. ἀλλ' ἐκεῖ μὲν οὐδέν ἐστ' εἰ μὴ
ὅρκος, καὶ πρὸς εὐτυχοῦντας ἔτι καὶ οὐ δεομένους παρηγορίας τοὺς
Ἀθηναίους· ἔτι δ' οὐχὶ τοὺς ἄνδρας ἀπαθανατίσας ὁ ποιητὴς ὤμοσεν,
ἵνα τῆς ἐκείνων ἀρετῆς τοῖς ἀκούουσιν ἐντέκῃ λόγον ἄξιον, ἀλλ' ἀπὸ
τῶν προκινδυνευσάντων ἐπὶ τὸ ἄψυχον ἀπεπλανήθη, τὴν μάχην.
παρὰ δὲ τῷ Δημοσθένει πεπραγμάτευται πρὸς ἡττημένους ὁ ὅρκος,
ὡς μὴ Χαιρώνειαν ἔτ' Ἀθηναίοις ἀτύχημα φαίνεσθαι, καὶ | ταὐτόν, 190v.
ὡς ἔφην, ἅμα ἀπόδειξίς ἐστι τοῦ μηδὲν ἡμαρτηκέναι, παράδειγμα,
4 ὅρκων πίστις, ἐγκώμιον προτροπή, κἀπειδήπερ ὑπήντα τῷ ῥήτορι
'λέγεις ἧτταν πολιτευσάμενος, εἶτα νίκας ὀμνύεις'; διὰ ταῦθ' ἑξῆς
κανονίζει καὶ δι' ἀσφαλείας ἄγει καὶ ὀνόματα, διδάσκων ὅτι κἀν
βακχεύμασι νήφειν ἀναγκαῖον. 'τοὺς προκινδυνεύσαντας' φησί 'Μα-
ραθῶνι καὶ τοὺς Σαλαμῖνι καὶ ἐπ' Ἀρτεμισίῳ ναυμαχήσαντας, καὶ
τοὺς ἐν Πλαταιαῖς παραταξαμένους'. οὐδαμοῦ 'νικήσαντας' εἶπεν,
ἀλλὰ πάντη τὸ τοῦ τέλους διακέκλοφεν ὄνομα, ἐπειδήπερ ἦν εὐτυ-

4 μεθιστὰς Manutius | βάθος Ruhnkenius βάρος Weiskius | 5 παιώνιον Morus | 6 κουφιζομένοις Hudsonus | 15 ἐστ' Manutius: ἔτ' P | 17 ἀποθανατίσας P ἀπαθανατίσας P | 23 ὅρκων del. Kayserus n. iahrb. LXX p. 292 | ὑπήντα τις τῷ Faber | 24 num τί λέγεις; | λέγεις λέγεις P | ταῦτα τὰ ἑξῆς Toupius | 25 καὶ τὰ ὀνόματα Reiskius | καὶ ἐνταῦθα διδάσκων Faber | 27 καὶ τοὺς ἐπ' Manutius

10 EUPOLIS DEMIS | 12 cf. EURIPIDES MED. 396. 399

οὐ γὰρ μὰ τὴν δέσποιναν, ἣν ἐγὼ σέβω,
χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ |

26 EURIPIDES BACCH. 317 καὶ γὰρ ἐν βακχεύμασιν οὖσ' ἥ γε σώφρων οὐ διαφθαρήσεται.

16 χὲς καὶ τοῖς κατὰ Χαιρώνειαν ὑπεναντίον. διόπερ καὶ τὸν ἀκροατὴν
φθάνων εὐθὺς ὑποφέρει· ʻοὓς ἅπαντας ἔθαψε δημοσίᾳʼ φησίν ʻἡ πό-
λις, Αἰσχίνη, οὐχὶ τοὺς κατορθώσαντας μόνουςʼ.

Οὐκ ἄξιον ἐπὶ τούτου τοῦ τόπου παραλιπεῖν ἕν τι τῶν ἡμῖν 17
τεθεωρημένων, φίλτατε, ἔσται δὲ πάνυ σύντομον, ὅτι φύσει πως
συμμαχεῖ τε τῷ ὕψει τὰ σχήματα καὶ πάλιν ἀντισυμμαχεῖται
θαυμαστῶς ὑπʼ αὐτοῦ. πῇ δὲ καὶ πῶς, ἐγὼ φράσω. ὕποπτόν
ἐστιν ἰδίως τὸ διὰ σχημάτων πανουργεῖν καὶ προσβάλλον ὑπόνοιαν
ἐνέδρας ἐπιβουλῆς παραλογισμοῦ. καὶ ταῦθʼ ὅταν ᾖ πρὸς κριτὴν
κύριον ὁ λόγος, μάλιστα δὲ πρὸς τυράννους βασιλέας ἡγεμόνας ἐν
ὑπεροχαῖς· ἀγανακτεῖ γὰρ εὐθύς, εἰ ὡς παῖς ἄφρων ὑπὸ τεχνίτου
191 r. ῥήτορος σχηματίοις κατασοφίζεται, καὶ εἰς καταφρό|νησιν ἑαυτοῦ
λαμβάνων τὸν παραλογισμὸν ἐνίοτε μὲν ἀποθηριοῦται τὸ σύνολον,
κἂν ἐπικρατήσῃ δὲ τοῦ θυμοῦ, πρὸς τὴν πειθὼ τῶν λόγων πάντως
ἀντιδιατίθεται. διόπερ καὶ τότε ἄριστον δοκεῖ τὸ σχῆμα, ὅταν αὐτὸ
τοῦτο διαλανθάνῃ, ὅτι σχῆμά ἐστι. τὸ τοίνυν ὕψος καὶ πάθος τῆς 2
ἐπὶ τῷ σχηματίζειν ὑπονοίας ἀλέξημα καὶ θαυμαστή τις ἐπικουρία
καθίσταται, καί πως παραληφθεῖσα ἡ τοῦ πανουργεῖν τέχνη τοῖς
πάθεσι καὶ μεγέθεσι τὸ λοιπὸν δέδυκε καὶ πᾶσαν ὑποψίαν ἐκπέ-
φευγεν. ἱκανὸν δὲ τεκμήριον τὸ προειρημένον ʻμὰ τοὺς ἐν Μαρα-
θῶνιʼ. τίνι γὰρ ἐνταῦθʼ ὁ ῥήτωρ ἀπέκρυψε τὸ σχῆμα; δῆλον ὅτι
τῷ φωτὶ αὐτῷ. σχεδὸν γὰρ ὥσπερ καὶ τἀμυδρὰ φέγγη ἐναφανί-
ζεται τῷ ἡλίῳ περιαυγούμενα, οὕτω τὰ τῆς ῥητορικῆς σοφίσματα
ἐξαμαυροῖ περιχυθὲν πάντοθεν τὸ μέγεθος. οὐ πόρρω δʼ ἴσως τούτου
καὶ ἐπὶ τῆς ζωγραφίας τι συμβαίνει· ἐπὶ γὰρ τοῦ αυτοῦ κειμένων
ἐπιπέδου παραλλήλων ἐν χρώμασι τῆς σκιᾶς τε καὶ τοῦ φωτός,
ὅμως προϋπαντᾷ τε τὸ φῶς ταῖς ὄψεσι καὶ οὐ μόνον ἔξοχον ἀλλὰ
καὶ ἐγγυτέρω παρὰ πολὺ φαίνεται. οὐκοῦν καὶ τῶν λόγων τὰ
πάθη καὶ τὰ ὕψη, ταῖς ψυχαῖς ἡμῶν ἐγγυτέρω κείμενα διά τε
φυσικήν τινα συγγένειαν καὶ διὰ λαμπρότητα, ἀεὶ τῶν σχημάτων

2 ἐπιφέρει Ruhnkenius | 6 συμμαχεῖ τε Schurzfleischius: συμμαχεῖται P | πάλιν αὖ συμμαχεῖται Nolteius ztschr. f. alterth. wiss. 1854 p. 304 | 7 ἀεί πως vel ἰδιώταις Nolteius | 9 καὶ ταῦτα καὶ ὅταν Kayserus n. iahrb. LXX p. 294 | 10 ἡγεμόνας τοὺς ἐν ἐπαοχίαις Faber | 12 σχημάτιον P in marg. | 15 ὅταν — σχῆμα om. in marg. add. P | 18 παραληφθεῖσα ἡ Tollius: παραληφθεῖσαν P παραληφθεῖσʼ ἂν Schurzfleischius παρακαλυφθεῖσα ἡ Ruhnkenius παραλειφθεῖσα ἡ Toupius παρεκλειφθεῖσα Wakefieldus silv. crit. I p. 109 περιληφθεῖσα Kayserus n. iahrb. LXX p. 294 | 19 πάθεσι Tollius: κάλλεσι P | ὑποδέδυκε Manutius | 27 καὶ οὐ μόνον Victorius Boivinus: καιόμενον P | 29 οὐκ ἐγγυτέρω Weiskius

προεμφανίζεται καὶ τὴν τέχνην αὐτῶν ἐπισκιάζει καὶ οἷον ἐν κατα- 17
λήψει τηρεῖ.

18 Τί δ' ἐκεῖνα φῶμεν, τὰς πεύσεις τε καὶ ἐρωτήσεις; ἆρα οὐκ
αὐταῖς ταῖς τῶν σχημάτων εἰδοποιΐαις παρὰ πολὺ ἐμπρακτότερα
καὶ σοβαρώ|τερα συντείνει τὰ λεγόμενα; 'ἢ βούλεσθε, εἰπέ μοι, πε- 191v.
ριϊόντες ἀλλήλων πυνθάνεσθαι· λέγεταί τι καινόν; τί γὰρ ἂν γένοιτο
τούτου καινότερον ἢ Μακεδὼν ἀνὴρ καταπολεμῶν τὴν Ἑλλάδα;
τέθνηκε Φίλιππος; οὐ μὰ Δί'. ἀλλ' ἀσθενεῖ; τί δ' ὑμῖν διαφέρει;
καὶ γὰρ ἂν οὗτός τι πάθῃ, ταχέως ὑμεῖς ἕτερον Φίλιππον ποιήσετε.
καὶ πάλιν 'πλέωμεν ἐπὶ Μακεδονίαν' φησί. 'ποῖ δὴ προσορμιούμεθα,
ἤρετό τις. εὑρήσει τὰ σαθρὰ τῶν Φιλίππου πραγμάτων αὐτὸς ὁ
πόλεμος'. ἦν δὲ ἁπλῶς ῥηθὲν τὸ πρᾶγμα τῷ παντὶ καταδεέστερον,
νυνὶ δὲ τὸ ἔνθουν καὶ ὀξύρροπον τῆς πεύσεως καὶ ἀποκρίσεως καὶ τὸ
πρὸς ἑαυτὸν ὡς πρὸς ἕτερον ἀνθυπαντᾶν οὐ μόνον ὑψηλότερον ἐποίησε
τῷ σχηματισμῷ τὸ ῥηθέν, ἀλλὰ καὶ πιστότερον. ἄγει γὰρ τὰ πα-
2 θητικὰ τότε μᾶλλον, ὅταν αὐτὰ φαίνηται μὴ ἐπιτηδεύειν αὐτὸς ὁ
λέγων, ἀλλὰ γεννᾶν ὁ καιρός, ἡ δ' ἐρώτησις ἡ εἰς ἑαυτὸν καὶ ἀπό-
κρισις μιμεῖται τοῦ πάθους τὸ ἐπίκαιρον. σχεδὸν γὰρ ὡς οἱ ὑφ'
ἑτέρων ἐρωτώμενοι παροξυνθέντες ἐκ τοῦ παραχρῆμα πρὸς τὸ λεχθὲν
ἐναγωνίως καὶ ἀπ' αὐτῆς τῆς ἀληθείας ἀνθυπαντῶσιν, οὕτως τὸ
σχῆμα τῆς πεύσεως καὶ ἀποκρίσεως εἰς τὸ δοκεῖν ἕκαστον τῶν
ἐσκεμμένων ἐξ ὑπογύου κεκινῆσθαί τε καὶ λέγεσθαι τὸν ἀκροατὴν
ἀπάγον καὶ παραλογίζεται. ἔτι τοίνυν — ἓν γάρ τι τῶν ὑψηλο-
τάτων τὸ ἡροδότειον πεπίστευται — εἰ οὕτως ἔ * *

19 * * πλοκα ἐκπίπτει καὶ οἱονεὶ προχεῖται τὰ λεγόμενα, ὀλίγου 192r.

1 ἐπισκιάζει Reiskius Finckhius n. iahrb. LXIX p. 638: ἀποσκιάζει P | καταλήψει ς: κατακαλύψει P κάλυξι Valckenaerius Nolteius ztschr. f. alterth. wiss. 1854 p. 304 ἀκαταληψίᾳ Kayserus n. iahrb. LXX p. 294 | 3 τε καὶ ἀποκρίσεις G. S. A. class. journ. III, 5 p. 68 | 4 οὐ ταύταις G. S. A. | 6 αὐτῶν codd. Demosthenis | γένοιτο γὰρ ἄν τι καινότερον codd. Demosthenis | 7 τούτου del Pearcius | ἀνὴρ Ἀθηναῖοι; καταπολεμῶν καὶ τὰ τῶν Ἑλλήνων διοικῶν; codd. Demosthenis | 10 οὐκ ἐπὶ τὴν ἐκείνου πλευσόμεθα; codd. Demosthenis | ποῖ οὖν codd. Demosthenis | 11 ἤρετό τις del. Pearcius | σαθρὰ ὦ ἄνδρες Ἀθηναῖοι τῶν ἐκείνου πραγμάτων codd. Demosthenis | 16 μάλιστα Spengelius | αὐτὸς ὁ καιρός Spengelius | 18 ὡς οἱ Faber: ὅσοι P ὅσοι Petra | 19 παροξυνθέντες Morus: παροξύνοντες P | 21 ἐκ τοῦ δοκεῖν Toupius | 23 ἀπά*ον P ἀπάγον P ἀπάγει Robortellus | καὶ del. Schurzfleischius | 27 ἄπλοκα Manutius

5 DEMOSTHENES PHIL. I, 10 | 10 DEMOSTHENES PHIL. I, 44

19 δεῖν φθάνοντα καὶ αὐτὸν τὸν λέγοντα. ‘καὶ συμβαλόντες’ φησὶν ὁ
Ξενοφῶν ‘τὰς ἀσπίδας ἐωθοῦντο ἐμάχοντο ἀπέκτεινον ἀπέθνησκον’.
καὶ τὰ τοῦ Εὐρυλόχου 2

ἤλθομεν, ὡς ἐκέλευες, ἀνὰ δρυμά, φαίδιμ’ Ὀδυσσεῦ.
εὕρομεν ἐν βήσσῃσι τετυγμένα δώματα καλά.

τὰ γὰρ ἀλλήλων διακεκομμένα καὶ οὐδὲν ἧττον κατεσπευσμένα
φέρει τῆς ἀγωνίας ἔμφασιν ἅμα καὶ ἐμποδιζούσης τι καὶ συνδιω-
κούσης. τοιαῦθ’ ὁ ποιητὴς ἐξήνεγκε διὰ τῶν ἀσυνδέτων.

Ἄκρως δὲ καὶ ἡ ἐπὶ ταὐτὸ σύνοδος τῶν σχημάτων εἴωθε κινεῖν, 20
ὅταν δύο ἢ τρία οἷον κατὰ συμμορίαν ἀνακιρνάμενα ἀλλήλοις ἐρα-
νίζῃ τὴν ἰσχύν, τὴν πειθώ, τὸ κάλλος, ὁποῖα καὶ τὰ εἰς τὸν Μειδίαν
ταῖς ἀναφοραῖς ὁμοῦ καὶ τῇ διατυπώσει συναναπεπλεγμένα τὰ
ἀσύνδετα. ‘πολλὰ γὰρ ἂν ποιήσειεν ὁ τύπτων, ὧν ὁ παθὼν ἔνια
οὐδ’ ἂν ἀπαγγεῖλαι δύναιτο ἑτέρῳ, τῷ σχήματι, τῷ βλέμματι, τῇ
φωνῇ’. εἶθ’ ἵνα μὴ ἐπὶ τῶν αὐτῶν ὁ λόγος ἰὼν στῇ — ἐν στάσει
γὰρ τὸ ἠρεμοῦν, ἐν ἀταξίᾳ δὲ τὸ πάθος, ἐπεὶ φορὰ ψυχῆς καὶ 2
συγκίνησίς ἐστιν —, εὐθὺς ἐπ’ ἄλλα μεθήλατο ἀσύνδετα καὶ ἐπα-
ναφοράς· ‘[τῷ σχήματι, τῷ βλέμματι, τῇ φωνῇ,] ὅταν ὡς ὑβρίζων,
ὅταν ὡς ἐχθρός, ὅταν κονδύλοις, ὅταν [ὡς δοῦλον] ἐπὶ κόρρης’. οὐδὲν
ἄλλο διὰ τούτων ὁ ῥήτωρ ἢ ὅπερ ὁ τύπτων ἐργάζεται, τὴν διάνοιαν
τῶν δικαστῶν τῇ ἐπαλλήλῳ πλήττει φορᾷ. εἶτ’ ἐντεῦθεν πάλιν ὡς 3
192v. αἱ καταιγίδες ἄλλην ποιούμενος ἐμβολήν ‘ὅταν κονδύλοις, | ὅταν
ἐπὶ κόρρης’ φησί ‘ταῦτα κινεῖ, ταῦτα ἐξίστησιν ἀνθρώπους, ἀήθεις
ὄντας τοῦ προπηλακίζεσθαι· οὐδεὶς ἂν ταῦτα ἀπαγγέλλων δύναιτο
τὸ δεινὸν παραστῆσαι’. οὐκοῦν τὴν μὲν φύσιν τῶν ἐπαναφορῶν καὶ
ἀσυνδέτων πάντῃ φυλάττει τῇ συνεχεῖ μεταβολῇ· οὕτως αὐτῷ καὶ

4 ἤομεν codd. Homeri | 5 *ίδομεν P εὕρομεν in marg. P | βήσσηισιν P | 6 ἧσσον P | κατεσπασμένα ς | 7 συνδιωκούσης Faber: συνδιοικούσης P | 10 συμμορίαν Manutius: συμμορίας P | ἐρανιζ** P ἐρανίζῃ P συνερανίζῃ Toupius | 11 τοῦ εἰς Reiskius | ὁποῖα τὰ εἰς Nolteius ztschr. f. alterth. wiss. 1854 p. 304 | 12 τὰ del Weiskius | 13 τύπτων, ὦ ἄνδρες Ἀθηναῖοι codd. Demosthenis | 15 τάξει Manutius | 18 τῷ σχήματι — φωνῇ del. Faber | 19 ἐχθρὸς ὑπάρχων codd. Demosthenis | ὡς δοῦλον om. codd. Demosthenis | 21 πλήττων Faber | 22 ὅταν κονδύλοις — κόρρης del. Finckhius n. iahrb. LXIX p. 638 | ὅταν — φησί om. Manutius | 23 ἐπὶ κόρρης om. P | ἀνθρώπους αὐτῶν codd. Demosthenis | 24 οὐδεὶς ἂν codd. Demosthenis: ἂν om. P | 25 ὡς οὖν τὴν φύσιν Morus | τὴν μεγαλοφυίαν Vaucherus | lacunam post φύσιν statuit Weiskius

1 XENOPHON HIST. GR. IV, 3, 19. AGES. 2, 12 | 4 HOMERUS ODYSS. κ, 251 | EUSTATHIUS p. 1657, 34 καλὸν δ’ ἐν τούτοις καὶ ἡ ἀσύνδετος εἰσβολή. | 13 DEMOSTHENES IN MID. 72

ἡ τάξις ἄτακτον καὶ ἔμπαλιν ἡ ἀταξία ποιὰν περιλαμβάνει 20
τάξιν.

21 Φέρε οὖν, πρόσθες τοὺς συνδέσμους, εἰ θέλεις, ὡς ποιοῦσιν οἱ Ἰσοκράτειοι· ‘καὶ μὴν οὐδὲ τοῦτο χρὴ παραλιπεῖν, ὡς πολλὰ ἂν ποιήσειεν ὁ τύπτων, πρῶτον μὲν τῷ σχήματι, εἶτα δὲ τῷ βλέμματι, εἶτά γε μὴν αὐτῇ τῇ φωνῇ’, καὶ εἴσῃ κατὰ τὸ ἑξῆς οὕτως παραγράφων, ὡς τοῦ πάθους τὸ συνδεδιωγμένον καὶ ἀποτραχυνόμενον, ἐὰν τοῖς συνδέσμοις ἐξομαλίσῃς, εἰς λειότητα ἄκεντρόν τε προσπίπτει
2 καὶ εὐθὺς ἔσβεσται. ὥσπερ γὰρ εἴ τις συνδήσειε τῶν θεόντων τὰ σώματα, τὴν φορὰν αὐτῶν ἀφῄρηται, οὕτως καὶ τὸ πάθος ὑπὸ τῶν συνδέσμων καὶ τῶν ἄλλων προσθηκῶν ἐμποδιζόμενον † ἀγανακτεῖ· τὴν γὰρ ἐλευθερίαν ἀπολλύει τοῦ δρόμου καὶ τὸ ὡς ἀπ᾽ ὀργάνου τινὸς ἀφίεσθαι.

22 Τῆς δὲ αὐτῆς ἰδέας καὶ τὰ ὑπερβατὰ θετέον. ἔστιν δὲ λέξεων ἢ νοήσεων ἐκ τοῦ κατ᾽ ἀκολουθίαν κεκινημένη τάξις καὶ οἱονεὶ χαρακτὴρ ἐναγωνίου πάθους ἀληθέστατος. ὡς γὰρ οἱ τῷ ὄντι ὀργιζόμενοι ἢ φοβούμενοι ἢ ἀγανακτοῦντες ἢ ὑπὸ ζηλοτυπίας ἢ ὑπὸ ἄλλου τινός — πολλὰ γὰρ καὶ ἀναρίθμητα πάθη καὶ οὐδ᾽ ἂν
εἰπεῖν τις ὁπόσα δύ|ναιτο — ἑκάστοτε παραπίπτοντες, ἄλλα προθέ- 193 r.
μενοι πολλάκις ἐπ᾽ ἄλλα μεταπηδῶσι, μέσα τινὰ παρεμβαλόντες ἀλόγως, εἶτ᾽ αὖθις ἐπὶ τὰ πρῶτα ἀνακυκλοῦντες καὶ πάντῃ πρὸς τῆς ἀγωνίας, ὡς ὑπ᾽ ἀστάτου πνεύματος, τῇδε κἀκεῖσε ἀγχιστρόφως ἀντισπώμενοι [τὰς λέξεις τὰς νοήσεις] τὴν ἐκ τοῦ κατὰ φύσιν εἱρμοῦ παντοίως πρὸς μυρίας τροπὰς ἐναλλάττουσι τάξιν· οὕτω παρὰ τοῖς ἀρίστοις συγγραφεῦσι διὰ τῶν ὑπερβατῶν ἡ μίμησις ἐπὶ τὰ τῆς φύσεως ἔργα φέρεται. τότε γὰρ ἡ τέχνη τέλειος, ἡνίκ᾽ ἂν φύσις εἶναι δοκῇ, ἡ δ᾽ αὖ φύσις ἐπιτυχής, ὅταν λανθάνουσαν περιέχῃ τὴν τέχνην. ὥσπερ λέγει ὁ Φωκαεὺς Διονύσιος παρὰ τῷ Ἡροδότῳ· ‘ἐπὶ ξυροῦ γὰρ ἀκμῆς ἔχεται ἡμῖν τὰ πράγματα, ἄνδρες Ἴωνες, εἶναι

1 ἄτακτόν τι Tollius | 3 θέλοις P | CΥΝΔ. P in marg. | 8 ἄκεντρον P in marg. | τε del. Faber | προπίπτει Nolteius ztschr. f. alterth. wiss. 1854 p. 304 | 11 ἀγωνίζεται εἰκῇ Weiskius ἀτονεῖ Cumanudes spec. emend. p. 11 | 12 ἀπολλύει Finckhius n. iahrb. LXIX p. 638 Cumanudes: ἀπολύει P ἀποκωλύει Ruhnkenius ἀπολύουσι Morus ἀπόλλυσι vel ἀποκλείουσι Weiskius | 14 περὶ ὑπερβατῶν ὅρος ὑπερβατοῦ P in marg. | 20 μέσ*α P | 21 ἀλ*όγως P | 23 τὰς τὴν τῶν λέξεων καὶ νοήσεων ἐκ Tollius νοήσεις del. Nolteius ztschr. f. alterth. wiss. 1854 p. 304 | 29 πρήγματα — ἢ εἶναι codd. Herodoti

28 **HERODOTUS VI, 11**

22 ἐλευθέροις ἢ δούλοις, καὶ τούτοις ὡς δραπέτῃσι. νῦν ὦν ὑμεῖς ἢν
μὲν βούλησθε ταλαιπωρίας ἐνδέχεσθαι, παραχρῆμα μὲν πόνος ὑμῖν,
οἷοί τε δὲ ἔσεσθε ὑπερβαλέσθαι τοὺς πολεμίους'. ἐνταῦθ' ἦν τὸ 2
κατὰ τάξιν· 'ὦ ἄνδρες Ἴωνες, νῦν καιρός ἐστιν ὑμὶν πόνους ἐπιδέ-
χεσθαι· ἐπὶ ξυροῦ γὰρ ἀκμῆς ἔχεται ἡμὶν τὰ πράγματα'. ὁ δὲ
τὸ μὲν 'ἄνδρες Ἴωνες' ὑπερεβίβασεν· προεισέβαλεν οὖν εὐθὺς ἀπὸ
τοῦ φόβου, ὡς μηδ' ἀρχὴν φθάνων πρὸς τὸ ἐφεστὼς δέος προσα-
γορεῦσαι τοὺς ἀκούοντας· ἔπειτα δὲ τὴν τῶν νοημάτων ἀνέστρεψε
τάξιν. πρὸ γὰρ τοῦ φῆσαι ὅτι αὐτοὺς δεῖ πονεῖν — τοῦτο γάρ
ἐστιν ὃ παρακελεύεται — ἔμπροσθεν ἀποδίδωσι τὴν αἰτίαν, δι' ἣν
193v. πονεῖν δεῖ, 'ἐπὶ ξυ|ροῦ ἀκμῆς' φήσας 'ἔχεται ἡμὶν τὰ πράγματα'·
ὡς μὴ δοκεῖν ἐσκεμμένα λέγειν, ἀλλ' ἠναγκασμένα. ἔτι δὲ μᾶλ- 3
λον ὁ Θουκυδίδης καὶ τὰ φύσει πάντως ἡνωμένα καὶ ἀδιανέμητα
ὅμως ταῖς ὑπερβάσεσιν ἀπ' ἀλλήλων ἄγειν δεινότατος. ὁ δὲ Δη-
μοσθένης οὐχ οὕτως μὲν αὐθάδης ὥσπερ οὗτος, πάντων δ' ἐν τῷ
γένει τούτῳ κατακορέστατος καὶ πολὺ τὸ ἀγωνιστικὸν ἐκ τοῦ ὑπερ-
βιβάζειν καὶ ἔτι νὴ Δία τὸ ἐξ ὑπογύου λέγειν συνεμφαίνων, καὶ
πρὸς τούτοις εἰς τὸν κίνδυνον τῶν μακρῶν ὑπερβατῶν τοὺς ἀκούοντας
συνεπισπώμενος. πολλάκις γὰρ τὸν νοῦν, ὃν ὥρμησεν εἰπεῖν, ἀνα- 4
κρεμάσας καὶ μεταξὺ ὡς εἰς ἀλλόφυλον καὶ ἀπεοικυῖαν τάξιν ἄλλ'
ἐπ' ἄλλοις διὰ μέσου καὶ ἔξωθέν ποθεν ἐπεισκυκλῶν, εἰς φόβον ἐμ-
βαλὼν τὸν ἀκροατήν, ὡς ἐπὶ παντελεῖ τοῦ λόγου διαπτώσει, καὶ
συναποκινδυνεύειν ὑπ' ἀγωνίας τῷ λέγοντι συναναγκάσας, εἶτα πα-
ραλόγως διὰ μακροῦ τὸ πάλαι ζητούμενον εὐκαίρως ἐπὶ τέλει που
προσαποδοὺς αὐτῷ τῷ κατὰ τὰς ὑπερβάσεις παραβόλῳ καὶ ἀκρο-
σφαλεῖ πολὺ μᾶλλον ἐκπλήττει. φειδὼ δὲ τῶν παραδειγμάτων
ἔστω διὰ τὸ πλῆθος.

Τά γε μὴν πολύπτωτα λεγόμενα, ἀθροισμοὶ καὶ μεταβολαὶ 23
καὶ κλίμακες, πάνυ ἀγωνιστικά, ὡς οἶσθα, κόσμου τε καὶ παντὸς
ὕψους καὶ πάθους συνεργά. τί δέ; αἱ τῶν πτώσεων χρόνων προ-
σώπων ἀριθμῶν γενῶν ἐναλλάξεις πῶς ποτε καταποικίλλουσι καὶ

1 ἐλευθέροισι ἢ δούλοισι καὶ τούτοισι ὡς δρηπέτῃσι — ὑμέες — ἐνδέκεσθαι τὸ παραχρῆμα — ὑμῖν ἔσται — ὑπερβαλλόμενοι τοὺς ἐναντίους εἶναι ἐλεύθεροι codd. Herodoti | ἡμεῖς P | 6 παρεισέβαλεν Morus | ἂν superscr. οὖν P οὖν ἂν Robortellus γοῦν G. S. A. class. journ. III, 5 p. 69 γὰρ Portus | τὰ ἀπὸ G. S. A. | 7 ἀρχὴν Robortellus: ἀρχὴ P | φθάνων del. Faber | ἐφεστὸς Spengelius | προσαγορεύσας Dobreeus adv. I p. 565 | 8 ἀνέστρεψε Finckhius ztschr. f. alterth. wiss. 1838 p. 997: ἀπέστρεψε P | 15 ὥσπερ οὗτος del. Vaucherus | 19 ὧν Nolteius ztschr. f. alterth. wiss. 1854 p. 304 | 23 ὑπογωνία P ὑπ' ἀγωνίας in marg. P | 26 φειδὼς P | 28 πολύπτωτα κλίμακες ἀθροισμοί μεταβολαί P in marg. | 29 κόσμου παντὸς καὶ Faber | πάντως Robortellus

2 ̓πεγείρουσι τὰ ἑρμηνευτικά; φημὶ δὲ τῶν κα|τὰ τοὺς ἀριθμοὺς οὐ 23
μόνα ταῦτα κοσμεῖν, ὁπόσα τοῖς τύποις ἑνικὰ ὄντα τῇ δυνάμει κατὰ 194r.
τὴν ἀναθεώρησιν πληθυντικὰ εὑρίσκεται· ʽαὐτίκα᾽ φησί

λαὸς ἀπείρων
Θυνῶν [ἐπ᾽] ἠιόνεσσι διιστάμενοι κελάδησαν·

ἀλλ᾽ ἐκεῖνα μᾶλλον παρατηρήσεως ἄξια, ὅτι ἔσθ᾽ ὅπου προσπίπτει
τὰ πληθυντικὰ μεγαλορρημονέστερα καὶ αὐτῷ δοξοκοποῦντα τῷ ὄχλῳ
3 τοῦ ἀριθμοῦ. τοιαῦτα παρὰ τῷ Σοφοκλεῖ τὰ ἐπὶ τοῦ Οἰδίπου·

ὦ γάμοι, γάμοι,
ἐφύσαθ᾽ ἡμᾶς καὶ φυτεύσαντες πάλιν
ἀνεῖτε ταὐτὸ σπέρμα κἀπεδείξατε
πατέρας ἀδελφοὺς παῖδας αἷμ᾽ ἐμφύλιον,
νύμφας γυναῖκας μητέρας τε χὠπόσα
αἴσχιστ᾽ ἐν ἀνθρώποισιν ἔργα γίγνεται.

πάντα γὰρ ταῦτα ἓν ὄνομά ἐστιν Οἰδίπους, ἐπὶ δὲ θατέρου Ἰοκάστη,
ἀλλ᾽ ὅμως χυθεὶς εἰς τὰ πληθυντικὰ ὁ ἀριθμὸς συνεπλήθυσε καὶ
τὰς ἀτυχίας· ὡς καὶ ἐκεῖνα πεπλεόνασται

ἐξῆλθον Ἕκτορές τε καὶ Σαρπηδόνες·

καὶ τὸ πλατωνικόν, ὃ καὶ ἑτέρωθι παρετεθείμεθα, ἐπὶ τῶν Ἀθηναίων·
ʽοὐ γὰρ Πέλοπες οὐδὲ Κάδμοι οὐδ᾽ Αἴγυπτοί τε καὶ Δαναοὶ οὐδ᾽
4 ἄλλοι πολλοὶ φύσει βάρβαροι συνοικοῦσιν ἡμῖν, ἀλλ᾽ αὐτοὶ Ἕλλη-
νες, οὐ μιξοβάρβαροι οἰκοῦμεν᾽ καὶ τὰ ἑξῆς. φύσει γὰρ ἐξακούεται
τὰ πράγματα κομπωδέστερα ἀγεληδὸν οὕτως τῶν ὀνομάτων ἐπισυν-
τιθεμένων. οὐ μέντοι δεῖ ποιεῖν αὐτὸ ἐπ᾽ ἄλλων, εἰ μὴ ἐφ᾽ ὧν
δέχεται τὰ ὑποκείμενα αὔξησιν ἢ πληθὺν ἢ ὑπερβολὴν ἢ πάθος,
ἕν τι τούτων ἢ καὶ πλείονα, ἐπεί τοι τὸ πανταχοῦ κώδωνας ἐξῆφθαι 194v.
λίαν σοφιστικόν.

2 τῇ δυνάμει del. Nolteius ztschr. f. alterth. wiss. 1854 p. 447 | 5 Θυνῶν Bergkius comm. crit. V (Marb. 1850) p. IV: θύνων P θυμὸν Schurzfleischius θῦνον Langbainius θῦνεν Toupius | ἐπ᾽ del. Wyttenbachius ad Plutarch. s. n. v. p. 53 | ἠιόνεσι P | δὲ ἱστάμενοι Pearcius | 6 ἐκεῖνο — ἄξιον Toupius | 7 μεγαλορημονέστερα P | δοξοκοπεῖν in marg. P δοξοκομποῦντα Toupius | 11 ταὐτὸν codd. Sophoclis | 14 αἴσχι*στ᾽ P | γίνεται P | 15 ταῦτα ἐφ᾽ ἑτέρου μὲν ἓν Tollius ταῦτα τοῦ μὲν ἓν Pearcius ταῦτα τὰ μὲν ἓν Toupius | 17 ὡς καὶ Tollius: καὶ ὡς P | 20 αἰγυπτ*οι P | 21 φύσει μὲν βάρβαροι ὄντες, νόμῳ δὲ Ἕλληνες συνοικοῦσιν codd. Platonis | 25 ὑποκείμενα Petra: ὑπερκείμενα P ὑπεκκείμενα Pearcius | αὔξησιν Robortellus: αὔχεσιν P | 26 ἢ ἓν Faber ἓν — πλείονα del. Weiskius | εἴτ᾽ ἕν τι τούτων εἴτε πλείονα Morus | ἢ καὶ Weiskius: ἢ τὰ P | τὰ del. Faber | ἐπεί τοι καὶ τὸ Schaeferus poett. gnom. p. 188

8 SOPHOCLES OED. R. 1403 | 19 PLATO MENEX. p. 245 D | DEMOSTHENES C. ARISTOG. I, 90 καὶ ἃ τῶν ἄλλων τῶν ἠτυχηκότων

24 Ἀλλὰ μὴν καὶ τοὐναντίον τὰ ἐκ τῶν πληθυντικῶν εἰς τὰ ἑνικὰ
ἐπισυναγόμενα ἐνίοτε ὑψηλοφανέστατα. ‘ἔπειθ’ ἡ Πελοπόννησος
ἅπασα διειστήκει’ φησί. ‘καὶ δὴ Φρυνίχῳ δρᾶμα Μιλήτου ἅλωσιν
διδάξαντι εἰς δάκρυα [ἔπεσον οἱ θεώμενοι] ἔπεσε τὸ θέητρον’. τὸ ἐκ
τῶν διῃρημένων εἰς τὰ ἡνωμένα ἐπισυστρέψαι τὸν ἀριθμὸν σωματο-
ειδέστερον. αἴτιον δ’ ἐπ’ ἀμφοῖν τοῦ κόσμου ταὐτὸν οἶμαι· ὅπου τε 2
γὰρ ἑνικὰ ὑπάρχει τὰ ὀνόματα, τὸ πολλὰ ποιεῖν αὐτὰ παρὰ δόξαν
ἐμπαθῶς, ὅπου τε πληθυντικά, τὸ εἰς ἕν τι εὔηχον συγκορυφοῦν
τὰ πλείονα, διὰ τὴν εἰς τοὐναντίον μεταμόρφωσιν τῶν πραγμάτων
ἐν τῷ παραλόγῳ.

Ὅταν γε μὴν τὰ παρεληλυθότα τοῖς χρόνοις εἰσάγῃς ὡς γινό- 25
μενα καὶ παρόντα, οὐ διήγησιν ἔτι τὸν λόγον, ἀλλ’ ἐναγώνιον πρᾶγμα
ποιήσεις. ‘πεπτωκὼς δέ τις’ φησὶν ὁ Ξενοφῶν ‘ὑπὸ τῷ Κύρου ἵππῳ
καὶ πατούμενος παίει τῇ μαχαίρᾳ εἰς τὴν γαστέρα τὸν ἵππον· ὁ
δὲ σφαδάζων ἀποσείεται τὸν Κῦρον, ὁ δὲ πίπτει’. τοιοῦτος ἐν τοῖς
πλείστοις ὁ Θουκυδίδης.

Ἐναγώνιος δ’ ὁμοίως καὶ ἡ τῶν προσώπων ἀντιμετάθεσις, καὶ 26
πολλάκις ἐν μέσοις τοῖς κινδύνοις ποιοῦσα τὸν ἀκροατὴν δοκεῖν
στρέφεσθαι

φαίης κ’ ἀκμῆτας καὶ ἀτειρέας ἀλλήλοισιν
ἄντεσθ’ ἐν πολέμῳ· ὣς ἐσσυμένως ἐμάχοντο.

καὶ ὁ Ἄρατος

μὴ κείνῳ ἐνὶ μηνὶ περικλύζοιο θαλάσσῃ.

ὧδέ που καὶ ὁ Ἡρόδοτος· ‘ἀπὸ δὲ Ἐλεφαντίνης πόλεως ἄνω πλεύ- 2
195r. σεαι .... ‘καὶ | ἔπειτα ἀφίξῃ ἐς πεδίον λεῖον· .... διεξελθὼν δὲ
ΚΗ τοῦτο τὸ χωρίον αὖθις εἰς ἕτερον πλοῖον ἐμβὰς πλεύσεαι δύ’ ἡμέ-

2 ἔπειθ’ ἡ codd. Demosthenis: ἐπειδὴ P | 3 δὴ καὶ ποιήσαντι Φρυνίχῳ — καὶ διδάξαντι ἐς δάκρυά τε ἔπεσεν τὸ θέητρον καὶ ἐζημίωσάν μιν codd. Herodoti | 4 ἔπεσε τὸ θέητρον om. P | 7 τὸ Manutius: τὰ P | παράδοξον del. ἐμπαθοῦς Weiskius | 8 ἐμπαθῶς Weiskius: ἐνπαθοῦς P εὐπαθοῦς Robortellus ἐμπαθές Morus | ὅπουτε ὁπότε P | 9 τὰ πλείονα del. Vaucherus | τῶν πραγμάτων del. Vaucherus | 14 παίει εἰς τὴν γαστέρα τὸν ἵππον αὐτοῦ, ὁ δὲ ἵππος πληγεὶς codd. Xenophontis | 15 τὸ*ν P | ὁ δὲ πίπτει om. codd. Xenophontis | τοιαῦτα Weiskius | 20 ἀλλήλοισιν codd. Homeri: om. P | 24 δὲ om. codd. Herodoti | πόλιος — ἀπίξεαι codd. Herodoti | 25 δὲ ἐν τῇσι τεσσεράκοντα ἡμέρῃσι τοῦτο — αὖτις — δυώδεκα ἡμέρας πλεύσεαι καὶ — τῇ οὔνομά ἐστι codd. Herodoti | 26 πλευσε*αι P

ἕκαστος ἀψοφητὶ ποιεῖ, ταῦθ’ οὗτος μόνον οὐ κώδωνας ἐξαψάμενος διαπράττεται. | 2 DEMOSTHENES DE COR. 18 | 3 HERODOTUS VI, 21 | 13 XENOPHON CYROP. VII, 1, 37 | 20 HOMERUS IL. O, 697 | 22 ARATUS PHAEN. 287 | 24 HERODOTUS II, 29

ρας, ἔπειτα ἥξεις ἐς πόλιν μεγάλην, ᾗ ὄνομα Μερόη. ὁρᾷς, ὦ 26 ἑταῖρε, ὡς παραλαβών σου τὴν ψυχὴν διὰ τῶν τόπων ἄγει τὴν ἀκοὴν ὄψιν ποιῶν; πάντα δὲ τὰ τοιαῦτα πρὸς αὐτὰ ἀπερειδόμενα
3 τὰ πρόσωπα ἐπ' αὐτῶν ἵστησι τὸν ἀκροατὴν τῶν ἐνεργουμένων. καὶ ὅταν ὡς οὐ πρὸς ἅπαντας, ἀλλ' ὡς πρὸς μόνον τινὰ λαλῇς

Τυδείδην δ' οὐκ ἂν γνοίης, ποτέροισι μετείη,

ἐμπαθέστερόν τε αὐτὸν ἅμα καὶ προσεκτικώτερον καὶ ἀγῶνος ἔμπλεων ἀποτελέσεις, ταῖς εἰς ἑαυτὸν προσφωνήσεσιν ἐξεγειρόμενον.

27 Ἔτι γε μὴν ἔσθ' ὅτε περὶ προσώπου διηγούμενος ὁ συγγραφεὺς ἐξαίφνης παρενεχθεὶς εἰς τὸ αὐτοπρόσωπον ἀντιμεθίσταται, καὶ ἔστι τὸ τοιοῦτον εἶδος ἐκβολή τις πάθους.

Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο, μακρὸν ἀΰσας,
νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ' ἔναρα βροτόεντα.
ὃν δ' ἂν ἐγὼν ἀπάνευθε νεῶν ἐθέλοντα νοήσω,
αὐτοῦ οἱ θάνατον μητίσομαι.

οὐκοῦν τὴν μὲν διήγησιν ἅτε πρέπουσαν ὁ ποιητὴς προσῆψεν ἑαυτῷ, τὴν δ' ἀπότομον ἀπειλὴν τῷ θυμῷ τοῦ ἡγεμόνος ἐξαπίνης οὐδὲν προδηλώσας περιέθηκεν· ἐψύχετο γάρ, εἰ παρενετίθει 'ἔλεγε δὲ τοῖά τινα καὶ τοῖα ὁ Ἕκτωρ', νυνὶ δ' ἔφθακεν ἄφνω τὸν μεταβαίνοντα ἡ τοῦ λόγου μετάβασις. διὸ καὶ πρόχειρος ἡ χρῆσις τοῦ σχήμα-
2 τος τότε, ἡνίκ' ἂν ὀξὺς ὁ καιρὸς ὢν διαμέλλειν τῷ γράφοντι μὴ διδῷ, ἀλλ' εὐθὺς | ἐπαναγκάζῃ μεταβαίνειν ἐκ προσώπων εἰς πρό- 195v.
σωπα· ὡς καὶ παρὰ τῷ Ἑκαταίῳ· 'Κῆυξ δὲ ταῦτα δεινὰ ποιούμενος αὐτίκα ἐκέλευε τοὺς Ἡρακλείδας [ἐπιγόνους] ἐκχωρεῖν· οὐ γὰρ ὑμῖν δυνατός εἰμι ἀρήγειν. ὡς μὴ ὦν αὐτοί τε ἀπόλησθε κἀμὲ τρώσητε, ἐς ἄλλον τινὰ δῆμον ἀποίχεσθε'. ὁ μὲν γὰρ Δημο-

3 ὄψιν — πρὸς om. in marg. add P | 4 καὶ σὺ οὖν ὅταν Weiskius | 6 del. Weiskius | 8 ἐξεγειρόμενον Faber: ἐξεγειρόμενος P | 9 διηγουμένου superscr. ος in marg μένον P | 10 τὸ αὐτοπρόσωπον Tollius: τὸ αὐτὸ πρόσωπον P (σ superscr.) αὐτὸ τὸ πρόσωπον Weiskius | 11 ἐμβολή Robortellus | 13 ἐπισεύεσθαι P (σ superscr.) | 14 ἑτέρωθι νοήσω codd. Homeri | 15 μητίσσομαι P | 16 ἅτε πρέπουσαν Robortellus: ἅτε τρέπουσαν P ἄτρεπτον οὖσαν Weiskius, del. Vaucherus | 17 ἐξαίφνης Kayserus n. iahrb. LXX p. 294 | 18 γὰρ ἂν Pearcius | 20 καὶ πρόχειρος ἡ χρῆσις Kayserus n. iahrb. LXX p. 294: ἡ πρόχρησις P ἡ πρόσχρησις Manutius καλὴ ἡ πρόσχρησις Nolteius ztschr. f. alterth. wiss. 1854 p. 448 καὶ ἔσται ἡ χρῆσις Faber | 21 ἡνίκ' ἂν scripsi: ἡνίκα P | 24 ἐκέλευσε Victorius var. lect. XXVII, 13 | Ἡρακλείδας καὶ τοὺς τοῦ Λικυμνίου ἐπιγόνους Morus | ἐπιγόνους del. Toupius ἐκ Τραχῖνος Weiskius | 25 ὑμῖν Stephanus: ἡμῖν P | εἰ μὴ P | ἀπόλησθε — τρώσητε Robortellus: ἀπόλεσθε — τρώσετε P | 26 ἀποίχεσθε Toupius: ἀποίχεσθαι P

6 HOMERUS IL. E, 85 | 12 IL. O, 346

27 σθένης κατ' ἄλλον τινὰ τρόπον ἐπὶ τοῦ Ἀριστογείτονος ἐμπαθὲς τὸ
πολυπρόσωπον καὶ ἀγχίστροφον παρέστακεν. ‘καὶ οὐδεὶς ὑμῶν
χολήν’ φησίν ‘οὐδ' ὀργὴν ἔχων εὑρεθήσεται, ἐφ' οἷς ὁ βδελυρὸς
οὗτος καὶ ἀναιδὴς βιάζεται; ὃς, ὦ μιαρώτατε ἁπάντων, κεκλειμένης
σοι τῆς παρρησίας οὐ κιγκλίσιν οὐδὲ θύραις, ἃ καὶ παρανοίξειεν ἄν
τις’ ... ἐν ἀτελεῖ τῷ νῷ ταχὺ διαλλάξας καὶ μόνον οὐ μίαν λέξιν
διὰ τὸν θυμὸν εἰς δύο διασπάσας πρόσωπα ‘ὃς, ὦ μιαρώτατε’ εἶτα
πρὸς τὸν Ἀριστογείτονα τὸν λόγον ἀποστρέψας καὶ ἀπολιπεῖν δο-
κῶν, ὅμως διὰ τοῦ πάθους πολὺ πλέον ἐπέστρεψεν. οὐκ ἄλλως ἡ 4
Πηνελόπη

κῆρυξ, τίπτε δέ σε πρόεσαν μνηστῆρες ἀγαυοί;
εἰπέμεναι δμωῇσιν Ὀδυσσῆος θείοιο
ἔργων παύσασθαι, σφίσι δ' αὐτοῖς δαῖτα πένεσθαι;
μὴ μνηστεύσαντες, μηδ' ἄλλοθ' ὁμιλήσαντες,
ὕστατα καὶ πύματα νῦν ἐνθάδε δειπνήσειαν,
οἳ θάμ' ἀγειρόμενοι βίοτον κατακείρετε πολλόν,
κτῆσιν Τηλεμάχοιο δαίφρονος· οὐδέ τι πατρῶν
ὑμετέρων τῶν πρόσθεν ἀκούετε παῖδες ἐόντες,
οἷος Ὀδυσσεὺς ἔσκε.

Καὶ μέντοι ἡ περίφρασις ὡς οὐχ ὑψηλοποιόν, οὐδεὶς ἂν οἶμαι
196 r. διστάσειεν. ὡς γὰρ ἐν μουσικῇ διὰ τῶν παρα|φώνων καλουμένων 28
ὁ κύριος φθόγγος ἡδίων ἀποτελεῖται, οὕτως ἡ περίφρασις πολλάκις
συμφθέγγεται τῇ κυριολογίᾳ καὶ εἰς κόσμον ἐπὶ πολὺ συνηχεῖ, καὶ
μάλιστ', ἂν μὴ ἔχῃ φυσῶδές τι καὶ ἄμουσον, ἀλλ' ἡδέως κεκρα- 2
μένον. ἱκανὸς δὲ τοῦτο τεκμηριῶσαι καὶ Πλάτων κατὰ τὴν εἰσβο-
λὴν τοῦ ἐπιταφίου· ‘ἔργῳ μὲν ἡμῖν οἵδ' ἔχουσι τὰ προσήκοντα
σφίσιν αὐτοῖς, ὧν τυχόντες πορεύονται τὴν εἱμαρμένην πορείαν, προ-
πεμφθέντες κοινῇ μὲν ὑπὸ τῆς πόλεως, ἰδίᾳ δὲ ἕκαστος ὑπὸ τῶν

3 χολήν codd. Demosthenis: σχολὴν P | ἔχων φανήσεται codd. Demosthenis | βδελυρὸς καὶ ἀναιδὴς ἄνθρωπος βιάζεται τοὺς νόμους; codd. Demosthenis | 4 πάντων τῶν ὄντων ἀνθρώπων codd. Demosthenis | κεκλει*μένης P | 5 τῆς ἐξουσίας codd. Demosthenis | οὐ om. P | κιγκλίοιν P | 8 πρὸς Manutius: τὸν πρὸς P | τὸν λόγον Manutius: λόγον P | 9 ἡ Πηνελόπη Faber: ἢ Πηνελόπην P | 12 δμωιῆσιν P | 13 σφησι P | 16 θά* P μ' add. p | κατακείρ*ετε P | 17 κτῆσιν Τηλεμάχοιο δαίφρονος om. P | 18 ἠυμετέρων P | ὄντες P | 19 οἷο** P | 20 καὶ μέντοι ἡ Weiskius: καὶ μέντοι P καὶ μέντοι καὶ ἡ Manutius ἡ μέντοι Spengelius | οὐχ del. Faber | 24 φλοιῶδες Ruhnkenius | ἡδέως Manutius: ἀδεῶς P | 28 δὲ ὑπὸ τῶν οἰκείων codd. Platonis

1 DEMOSTHENES C. ARISTOG. I, 27 | 10 HOMERUS ODYSS. δ, 68 | 25 PLATO MENEX. p. 236 D

προσηκόντων'. οἱ ἰοῦν τὸν θάνατον εἶπεν εἱμαρμένην πορείαν, τὸ δὲ 28
τετυχηκέναι τῶν νομιζομένων προπομπήν τινα δημοσίαν ὑπὸ τῆς
πατρίδος. ἆρα δὴ τούτοις οὐ μετρίως ὤγκωσε τὴν νόησιν, ἣν ψιλὴν
λαβὼν [τὴν λέξιν] ἐμελοποίησε, καθάπερ ἁρμονίαν τινὰ τὴν ἐκ τῆς
περιφράσεως περιχεάμενος εὐμέλειαν; καὶ Ξενοφῶν· 'πόνον δὲ τοῦ
3 ζῆν ἡδέως ἡγεμόνα νομίζετε .... κάλλιστον δὲ πάντων καὶ πολε-
μικώτατον κτῆμα εἰς τὰς ψυχὰς συγκεκόμισθε· ἐπαινούμενοι γὰρ
μᾶλλον ἢ τοῖς ἄλλοις πᾶσι χαίρετε'. ἀντὶ τοῦ 'πονεῖν θέλετε'
'πόνον ἡγεμόνα τοῦ ζῆν ἡδέως ποιεῖσθε' εἰπὼν καὶ τἆλλ' ὁμοίως
ἐπεκτείνας μεγάλην τινὰ ἔννοιαν τῷ ἐπαίνῳ προσπεριωρίσατο. καὶ τὸ
4 ἀμίμητον ἐκεῖνο τοῦ Ἡροδότου· 'τῶν δὲ Σκυθέων τοῖς συλήσασιν τὸ
29 ἱερὸν .... ἐνέβαλεν ἡ θεὸς θήλειαν νοῦσον'. ἐπίκηρον μέντοι πρᾶγμα
ἡ περίφρασις τῶν ἄλλων πλέον, εἰ μὴ συμμέτρως τινὶ λαμβάνοιτο·
εὐθὺς γὰρ ἀβλεμὲς προσπίπτει, κουφολογίας τε ὄζον καὶ παχύτα-
τον. | ὅθεν καὶ τὸν Πλάτωνα — δεινὸς γὰρ ἀεὶ περὶ τὸ σχῆμα κἄν 196v.
τισιν ἀκαίρως — ἐν τοῖς νόμοις λέγοντα, ὡς οὔτε ἀργυροῦν δεῖ πλοῦ-
τον οὔτε χρυσοῦν ἐν πόλει ἱδρυμένον ἐᾶν οἰκεῖν, διαχλευάζουσιν, ὡς

3 ἆρα Faber: ἄρα P | οὐ μετρίως Tollius: μετρίως P | ἣν Morus: ἦν P | 4 τὴν λέξιν del. Vaucherus τῇ λέξει Morus | καθάπερ ἁρμονίαν τινὰ del. Vaucherus | τινὰ αὐτῇ τὴν Reiskius Courierius ad Xenoph. hipp. p. 72 | 5 πόνους — ἡγεμόνας codd. Xenophontis | 7 συγκεκόμισθε* P | 8 ἅπασι codd. Xenophontis | 9 ποι**σθε P ποιεῖσθε P | 11 συλήσασι τὸ ἱρὸν τὸ ἐν Ἀσκάλωνι καὶ τοῖσι τούτων ἀεὶ ἐκγόνοισι ἐνέσκηψε codd. Herodoti | 12 ἐπίκαιρον Manutius | μέντοι del. Faber | μέντοι πρᾶγμα Weiskius: μέντοι τὸ πρᾶγμα P | 13 ἡ περίφρασις del. Weiskius | ἀσυμμέτρως Faber, σὺν μέτρῳ Morus | 14 παχύτητος Manutius | 15 τὸ σχῆμα Morus: σχῆμα P | τοῦτο τὸ σχῆμα Tollius | εἰ κἂν Tollius | 16 ἄκαιρος Schurzfleischius

5 XENOPHON CYROP. I, 5, 12 | 11 HERODOTUS I, 105 | 15 DIONYSIUS HALIC. EP AD POMP. 2 IUD. DE DEMOSTH. 5 p. 965 R. μάλιστα δὲ χειμάζεται ⟨ἡ πλατωνικὴ λέξις⟩ περὶ τὴν τροπικὴν φράσιν. πολλὴ μὲν γὰρ ἐν τοῖς ἐπιθέτοις, ἄκαιρος δ' ἐν ταῖς μετωνυμίαις, σκληρὰ δὲ καὶ οὐ σῴζουσα τὴν ἀναλογίαν ἐν ταῖς μεταφοραῖς γίγνεται, ἀλληγορίας τε περιβάλλεται μακρὰς καὶ πολλὰς οὔτε μέτρον ἐχούσας οὔτε καιρόν, σχήμασί τε ποιητικοῖς ἐσχάτην προσβάλλουσιν ἀηδίαν, καὶ μάλιστα τοῖς γοργιείοις ἀκαίρως καὶ μειρακιωδῶς ἐναβρύνεται, καὶ πολυτέλειά τις ἔστιν ἐν τοῖς τοιούτοις παρ' αὐτῷ, ὡς καὶ Δημήτριος ὁ Φαληρεὺς εἴρηκέ που καὶ ἄλλοι συχνοὶ πρότερον· οὐ γὰρ ἐμὸς ὁ μῦθος. | 17 PLATO DE LEGG. VII p. 801 B οὐκοῦν ἡμεῖς ἔμπροσθεν σμικρὸν τῷ λόγῳ ἐπείσθημεν ὡς οὔτε ἀργυροῦν δεῖ Πλοῦτον οὔτε χρυσοῦν ἐν πόλει ἱδρύμενον ἐνοικεῖν. cf. ARISTOPH. PLUT. 1191

ἱδρυσόμεθ' οὖν αὐτίκα μάλ', ἀλλὰ περίμενε,
τὸν Πλοῦτον, οὗπερ πρότερον ἦν ἱδρυμένος,
τὸν ὀπισθόδομον ἀεὶ φυλάττων τῆς θεοῦ.

29 εἰ πρόβατα, φησίν, ἐκώλυε κεκτῆσθαι, δῆλον ὅτι προβάτειον ἂν καὶ βόειον πλοῦτον ἔλεγεν.

Ἀλλὰ γὰρ ἅλις ὑπὲρ τῆς εἰς τὰ ὑψηλὰ τῶν σχημάτων χρή- 2
σεως ἐκ παρενθήκης τοσαῦτα πεφιλολογήσθω, Τερεντιανὲ φίλτατε· πάντα γὰρ ταῦτα παθητικωτέρους καὶ συγκεκινημένους ἀποτελεῖ τοὺς λόγους· πάθος δὲ ὕψους μετέχει τοσοῦτον, ὁπόσον ἦθος ἡδονῆς.

Ἐπειδὴ μέντοι ἡ τοῦ λόγου νόησις ἥ τε φράσις τὰ πλείω δι' 30
ἑκατέρου διέπτυκται, ἴθι δή, ἂν τοῦ φραστικοῦ μέρους ἤ τινα λοιπὰ ἔτι, προσεπιθεασώμεθα. ὅτι μὲν τοίνυν ἡ τῶν κυρίων καὶ μεγαλοπρεπῶν ὀνομάτων ἐκλογὴ θαυμαστῶς ἄγει καὶ κατακηλεῖ τοὺς ἀκούοντας καὶ ὡς πᾶσι τοῖς ῥήτορσι καὶ συγγραφεῦσι κατ' ἄκρον ἐπιτήδευμα, μέγεθος ἅμα κάλλος εὐπίνειαν βάρος ἰσχὺν κράτος, ἔτι δὲ τἆλλα, ἄν ὦσί τινα, τοῖς λόγοις ὥσπερ ἀγάλμασι καλλίστοις δι' αὐτῆς ἐπανθεῖν παρασκευάζουσα καὶ οἱονεὶ ψυχήν τινα τοῖς πράγμασι φωνητικὴν ἐντιθεῖσα, μὴ καὶ περιττὸν ᾖ πρὸς εἰδότας διεξιέναι. φῶς γὰρ τῷ ὄντι ἴδιον τοῦ νοῦ τὰ καλὰ ὀνόματα. ὁ 2
μέντοι γε ὄγκος αὐτῶν οὐ πάντῃ χρειώδης, ἐπεὶ τοῖς μικροῖς πραγματίοις περιτιθέναι μεγάλα καὶ σεμνὰ ὀνόματα ταὐτὸν ἂν φαίνοιτο, ὡς εἴ τις τραγικὸν προσωπεῖον μέγα παιδὶ περιθείη νηπίῳ, πλὴν ἐν μὲν ποιήσει καὶ ἱ * *

197 r. * * | πτικώτατον καὶ γόνιμον, τὸ δ' Ἀνακρέοντος 'οὐκέτι θρηι- 31
κίης ἐπιστρέφομαι'. ταύτῃ καὶ τὸ τοῦ Θεοπόμπου [καὶ τὸν] ἐπαί-

1 φασίν Manutius | καὶ βοῦς ἐκώλυε Pearcius | 4 πεφιλολογήσθω Schurzfleischius: πεφιλολογῆσθαι P | 5 πάντα δὲ Faber | 6 πάθος — ἡδονῆς del. Weiskius | 7 δι' Manutius: δὲ P | διὰ Κεκιλίου Nolteius ztschr. f. alterth. wiss. 1854 p. 448 | 8 διευθύνεται Tollius | *ή P δή P | αὐτοῦ Manutius αὐτοῦ τοῦ Morus αὖ, τοῦ Toupius | ᾖ Spengelius: εἴ P.| 11 καὶ — ἐπιτήδευμα post ἐντιθεῖσα ponit Spengelius | συγγραφεῦσι ἄκρον κατεπιτήδευμα Ruhnkenius | κάτακρον Robortellus | ἄκοον ὂν Weiskius | κατ' del. Nolteius ztschr. f. alterth. wiss. 1854 p. 448 | 12 ἐπιτηδεύεται Tollius | εὐκρίνειαν Robortellus σαφήνειαν ἢ Manutius ἐπίνοιαν Portus | 13 τἆλλα Manutius: τ' P | 14 ἐπανθεῖν ἐστὶ Robortellus | 15 ἐντιθεῖσα δῆλόν ἐστι Morus | ἢ P | εἰδότα σε Tollius εἰδότα Weiskius | 20 desunt quattuor folia in P | 23 θρε add. p | **δ* P τόδ' P | γόνιμον τόδ' Petra | θρηικίης πώλου Bergkius cl. Anacr. 75 | 24 ἐπιστρεφο*μαι P | ἐπήνετον P | ἐκεῖνο τὸ ἐπαίνετον Manutius καίτοι γ' ἀπηνὲς ὂν Morus καίτοι γ' ἐμπινὲς ὂν Reiskius καίτοι ἐπαίνετον del. Vaucherus

19 QUINT. VI, 1, 36 in parvis quidam litibus has tragoedias movere tale est, quale si personam Herculis ac cothurnos aptare infantibus velis.

νετον διὰ τὸ ἀνάλογον ἔμοιγε σημαντικώτατα ἔχειν δοκεῖ, ὅπερ ὁ 31
Κεκίλιος οὐκ οἶδ' ὅπως καταμέμφεται. 'δεινὸς ὤν' φησίν 'ὁ Φί-
λιππος ἀναγκοφαγῆσαι πράγματα'. ἔστιν ἄρ' ὁ ἰδιωτισμὸς ἐνίοτε
τοῦ κόσμου παρὰ πολὺ ἐμφανιστικώτερον· ἐπιγινώσκεται γὰρ αὐ-
τόθεν ἐκ τοῦ κοινοῦ βίου, τὸ δὲ σύνηθες ἤδη πιστότερον. οὐκοῦν ἐπὶ
τοῦ τὰ αἰσχρὰ καὶ ῥυπαρὰ τλημόνως καὶ μεθ' ἡδονῆς ἕνεκα πλεο-
νεξίας καρτεροῦντος τὸ ἀναγκοφαγεῖν τὰ πράγματα ἐναργέστατα
3 παρείληπται. ὧδέ πως ἔχει καὶ τὰ ἡροδότεια· 'ὁ Κλεομένης' φησί
'μανεὶς τὰς ἑαυτοῦ σάρκας ξιφιδίῳ κατέτεμεν εἰς λεπτά, ἕως ὅλον
καταχορδεύων ἑαυτὸν διέφθειρεν'. καί 'ὁ Πύθης ἕως τοῦδε ἐπὶ τῆς
νεὼς ἐμάχετο, ἕως ἅπας κατεκρεουργήθη'. ταῦτα γὰρ ἐγγὺς πα-
ραξύει τὸν ἰδιώτην, ἀλλ' οὐκ ἰδιωτεύει τῷ σημαντικῷ.
32 Περὶ δὲ πλήθους καὶ * μεταφορῶν ὁ μὲν Κεκίλιος ἔοικε συγ-
κατατίθεσθαι τοῖς δύο ἢ τὸ πλεῖστον τρεῖς ἐπὶ ταὐτοῦ νομοθετοῦσι
τάττεσθαι· ὁ γὰρ Δημοσθένης ὅρος καὶ τῶν τοιούτων. ὁ τῆς χρείας
δὲ καιρός, ἔνθα τὰ πάθη χειμάρρου δίκην ἐλαύνεται, καὶ τὴν πολυ-
2 πλήθειαν αὐτῶν ὡς ἀναγκαίαν ἐνταῦθα συνεφέλκεται. 'ἄνθρωποι'
φησί 'μιαροὶ καὶ κόλακες, ἠκρωτηριασμένοι τὰς ἑαυτῶν ἕκαστοι πα-
τρίδας, τὴν ἐλευθερίαν προπεπωκότες πρότερον Φιλίππῳ, νυνὶ δὲ
Ἀλεξάνδρῳ, τῇ γαστρὶ μετροῦντες καὶ τοῖς αἰσχί|στοις τὴν εὐδαιμο- 197v.
νίαν, τὴν δ' ἐλευθερίαν καὶ τὸ μηδένα ἔχειν δεσπότην, ἃ τοῖς πρό-
τερον Ἕλλησιν ὅροι τῶν ἀγαθῶν ἦσαν καὶ κανόνες, ἀνατετροφότες'.

1 τ* P τὸ P | 7 ἀναγκο*φαγεῖν P | τὰ πράγματα Morus | 9 ξιφειδίῳ P | κ*τέτεμεν P κατέτεμεν P | 12 σημαντικῷ Robortellus: σημαντικῶς P | 13 καὶ om. Robortellus | καὶ τολμῆς Kayserus n. iahrb. LXX p. 293 | τῶν μεταφορῶν Faber τρόπων καὶ μεταφορῶν Tollius | καὶ περὶ πλήθους δὲ Weiskius | 14 τοῖς Robortellus: τοὺς P | 15 ὁ γὰρ — τοιούτων post συνεφέλκεται posuit Morus, post φησι Spengelius | ὁ δὲ Δημοσθένης — ὁ τῆς χρείας γὰρ Schueckius commentarii περὶ ὕψους argum. (Vrat. 1855) p. 19 | 18 κόλακες καὶ ἀλάστορες codd. Demosthenis | 19 προπεπτωκότες P προπεπωκότες P | πρότερον μὲν — νῦν codd. Demosthenis | 21 τὴν δ' ἐλευθερίαν del. Toupius | 22 ἀνατετραφότες Σ Demosthenis

8 HERODOTUS VI, 75 Κλεομένης δὲ παραλαβὼν τὸν σίδηρον ἤρχετο ἐκ τῶν κνημέων ἑωυτὸν λωβώμενος· ἐπιτάμνων γὰρ κατὰ μῆκος τὰς σάρκας προέβαινε ἐκ τῶν κνημέων ἐς τοὺς μηρούς, ἐκ δὲ τῶν μηρῶν ἔς τι τὰ ἰσχία καὶ τὰς λαπάρας ἐς ὃ ἐς τὴν γαστέρα ἀπίκετο, καὶ ταύτην καταχορδεύων ἀπέθανε τρόπῳ τοιούτῳ. | 10 HERODOTUS VII, 181 Πυθέω τοῦ Ἰσχενόου ἐπιβατεύοντος, ἀνδρὸς ἀρίστου γενομένου ταύτην τὴν ἡμέρην, ὃς ἐπειδὴ ἡ νηῦς ἡλίσκετο, ἐς τοῦτο ἀντεῖχε μαχόμενος, ἐς ὃ κατεκρεουργήθη ἅπας. | 17 DEMOSTHENES DE COR. 296. PLINIUS EPP. IX, 26, 8 sed Demosthenes ipse, ille norma oratoris, num se cohibet et comprimit, cum dicit illa notissima ἄνθρωποι μιαροὶ καὶ κόλακες καὶ ἀλάστορες?

32 ἐνταῦθα τῷ πλήθει τῶν τροπικῶν ὁ κατὰ τῶν προδοτῶν ἐπιπροσθεῖ
τοῦ ῥήτορος θυμός. διόπερ ὁ μὲν Ἀριστοτέλης καὶ ὁ Θεόφραστος
μειλίγματά φασί τινα τῶν θρασειῶν εἶναι ταῦτα μεταφορῶν τά
'ὡσπερεὶ φάναι' καί 'οἱονεί' καί 'εἰ χρὴ τοῦτον εἰπεῖν τὸν τρόπον'
καί 'εἰ δεῖ παρακινδυνευτικώτερον λέξαι'. ἡ γὰρ ἐπιτίμησις, φασίν,
ἰᾶται τὰ τολμηρά. ἐγὼ δὲ καὶ ταῦτα μὲν ἀποδέχομαι, ὅμως δὲ 4
πλήθους καὶ τόλμης μεταφορῶν — ὅπερ ἔφην κἀπὶ τῶν σχημά-
των — τὰ εὔκαιρα καὶ σφοδρὰ πάθη καὶ τὸ γενναῖον ὕψος εἶναί
φημι ἴδιά τινα ἀλεξιφάρμακα, ὅτι τῷ ῥοθίῳ τῆς φορᾶς ταυτὶ πέ-
φυκεν ἅπαντα τἆλλα παρασύρειν καὶ προωθεῖν, μᾶλλον δὲ καὶ ὡς
ἀναγκαῖα πάντως εἰσπράττεσθαι τὰ παράβολα, καὶ οὐκ ἐᾷ τὸν
ἀκροατὴν σχολάζειν περὶ τὸν τοῦ πλήθους ἔλεγχον διὰ τὸ συνεν-
θουσιᾶν τῷ λέγοντι. ἀλλὰ μὴν ἔν γε ταῖς τοπηγορίαις καὶ δια- 5
γραφαῖς οὐκ ἄλλο τι οὕτως κατασημαντικόν, ὡς οἱ συνεχεῖς καὶ
ἐπάλληλοι τρόποι. δι' ὧν καὶ παρὰ Ξενοφῶντι ἡ τἀνθρωπίνου σκή-
νους ἀνατομὴ πομπικῶς καὶ ἔτι μᾶλλον ἀναζωγραφεῖται θείως
παρὰ τῷ Πλάτωνι. τὴν μὲν κεφαλὴν αὐτοῦ φησιν ἀκρόπολιν, ἰσθ-

1 ἐπιπροσθεῖ Robortellus: ἐπίπροσθε P | 3 θρασειῶν Faber: θρασέων P | τὸ Spengelius | 5 ἐπιτίμησις Stephanus: ὑποτίμησις P | 7 κἀπὶ Pearcius: κἄπειτα P καὶ Robortellus | 9 ἀλεξιφάρκακα P | 10 ***προωθεῖν P | 11 ἀναγκα** P ἀναγκαῖα P | 13 ταί*** πηγορίαις P ταῖς τοπηγορίαις P

2 ARISTOTELES περὶ ποιητικῆς | 3 QUINTILIANUS VIII, 3,37 si quid periculosius finxisse videbimur, quibusdam remediis praemuniendum est 'ut ita dicam, si licet dicere, quodam modo, permittite mihi sic uti'. | 15 XENOPHON MEMOR. I, 4, 5 οὔκουν δοκεῖ σοι ὁ ἐξ ἀρχῆς ποιῶν ἀνθρώπους ἐπ' ὠφελείᾳ προσθεῖναι αὐτοῖς δι' ὧν αἰσθάνονται ἕκαστα, ὀφθαλμοὺς μὲν ὥστε ὁρᾶν τὰ ὁρατά, ὦτα δὲ ὥστε ἀκούειν τὰ ἀκουστά; ὀσμῶν γε μήν, εἰ μὴ ῥῖνες προσετέθησαν, τί ἂν ἡμῖν ὄφελος ἦν; τίς δ' ἂν αἴσθησις ἦν γλυκέων καὶ δριμέων καὶ πάντων τῶν διὰ στόματος ἡδέων, εἰ μὴ γλῶττα τούτων γνώμων ἐνειργάσθη; πρὸς δὲ τούτοις οὐ δοκεῖ σοι καὶ τόδε προνοίας ἔργοις ἐοικέναι, τὸ ἐπεὶ ἀσθενὴς μέν ἐστιν ἡ ὄψις, βλεφάροις αὐτὴν θυρῶσαι, ἃ ὅταν μὲν αὐτῇ χρῆσθαί τι δέῃ, ἀναπετάννυται, ἐν δὲ τῷ ὕπνῳ συγκλῄεται; ὡς δ' ἂν μηδὲ ἄνεμοι βλάπτωσιν, ἠθμὸν βλεφαρίδας ἐμφῦσαι ὀφρύσι τε ἀπογεισῶσαι τὰ ὑπὲρ τῶν ὀμμάτων, ὡς μηδ' ὁ ἐκ τῆς κεφαλῆς ἱδρὼς κακουργῇ· τὸ δὲ τὴν ἀκοὴν δέχεσθαι μὲν πάσας φωνάς, ἐμπίμπλασθαι δὲ μήποτε· καὶ τοὺς μὲν πρόσθεν ὀδόντας πᾶσι ζῴοις οἵους τέμνειν εἶναι, τοὺς δὲ γομφίους οἵους παρὰ τούτων δεξαμένους λεαίνειν· καὶ στόμα μέν, δι' οὗ ὧν ἐπιθυμεῖ τὰ ζῷα εἰςπέμπεται, πλησίον ὀφθαλμῶν καὶ ῥινῶν θεῖναι· ἐπεὶ δὲ τὰ ἀποχωροῦντα δυσχερῆ, ἀποστρέψαι τοὺς τούτων ὀχετοὺς ᾗ δυνατὸν προσωτάτω ἀπὸ τῶν αἰσθήσεων· ταῦτα οὕτω προνοητικῶς πεπραγμένα ἀπορεῖς πότερα τύχης ἢ γνώμης ἔργα ἐστίν; | 17 PLATO TIM. p. 69 D ξυγκερασάμενοί τ' αὐτὰ ἀναγκαίως τὸ θνητὸν

μὸν δὲ μέσον διῳκοδομῆσθαι μεταξὺ τοῦ στήθους τὸν αὐχένα, σφον- 32
δύλους τε ὑπεστηρῖχθαί φησιν οἷον στρόφιγγας καὶ τὴν μὲν ἡδο-
νὴν ἀνθρώποις εἶναι κακῶν | δέλεαρ, γλῶσσαν δὲ γεύσεως δοκίμιον· 198 r.
ἄναμμα δὲ τῶν φλεβῶν τὴν καρδίαν καὶ πηγὴν τοῦ περιφερομένου σφοδρῶς αἵματος, εἰς τὴν δορυφορικὴν οἴκησιν κατατεταγμένην· τὰς δὲ διαδρομὰς τῶν πόρων ὀνομάζει στενωπούς· τῇ δὲ πηδήσει τῆς καρδίας ἐν τῇ τῶν δεινῶν προσδοκίᾳ καὶ τῇ τοῦ θυμοῦ ἐπεγέρσει,

1 μεταξὺ αὐτῆς καὶ τοῦ Pearcius | 2 καὶ — δοκίμιον del. G. S. A. class. journ. III, 5 p. 69 | 3 εἰ κακὸν P ναι add. p | 4 νᾶμα Petra

γένος ξυνέθεσαν. καὶ διὰ ταῦτα δὴ σεβόμενοι μιαίνειν τὸ θεῖον, ὅ τι μὴ πᾶσα ἦν ἀνάγκη, χωρὶς ἐκείνου κατοικίζουσιν εἰς ἄλλην τοῦ σώματος οἴκησιν τὸ θνητόν, ἰσθμὸν καὶ ὅρον διοικοδομήσαντες τῆς τε κεφαλῆς καὶ τοῦ στήθους, αὐχένα μεταξὺ τιθέντες, ἵνα εἴη χωρίς. ἐν δὴ τοῖς στήθεσι καὶ τῷ καλουμένῳ θώρακι τὸ τῆς ψυχῆς θνητὸν γένος ἐνέδουν. καὶ ἐπειδὴ τὸ μὲν ἄμεινον αὐτῆς, τὸ δὲ χεῖρον ἐπεφύκει, διοικοδομοῦσι τοῦ θώρακος αὖ τὸ κύτος, διορίζοντες οἷον γυναικῶν, τὴν δὲ ἀνδρῶν χωρὶς οἴκησιν, τὰς φρένας διάφραγμα εἰς τὸ μέσον αὐτῶν τιθέντες. τὸ μετέχον οὖν τῆς ψυχῆς ἀνδρίας καὶ θυμοῦ, φιλόνεικον ὄν, κατῴκισαν ἐγγυτέρω τῆς κεφαλῆς μεταξὺ τῶν φρενῶν τε καὶ αὐχένος, ἵνα τοῦ λόγου κατήκοον ὂν κοινῇ μετ' ἐκείνου βίᾳ τὸ τῶν ἐπιθυμιῶν κατέχοι γένος, ὁπότ' ἐκ τῆς ἀκροπόλεως τῷ ἐπιτάγματι καὶ λόγῳ μηδαμῇ πείθεσθαι ἑκὸν ἐθέλοι. τὴν δὲ δὴ καρδίαν ἅμμα τῶν φλεβῶν καὶ πηγὴν τοῦ περιφερομένου κατὰ πάντα τὰ μέλη σφοδρῶς αἵματος εἰς τὴν δορυφορικὴν οἴκησιν κατέστησαν, ἵνα, ὅτε ζέσειε τὸ τοῦ θυμοῦ μένος, τοῦ λόγου παραγγείλαντος, ὥς τις ἄδικος περὶ αὐτὰ γίγνεται πρᾶξις ἔξωθεν ἢ καί τις ἀπὸ τῶν ἔνδοθεν ἐπιθυμιῶν, ὀξέως διὰ πάντων τῶν στενωπῶν πᾶν, ὅσον αἰσθητικὸν ἐν τῷ σώματι, τῶν τε παρακελεύσεων καὶ ἀπειλῶν αἰσθανόμενον γίγνοιτο ἐπήκοον καὶ ἕποιτο πάντῃ καὶ τὸ βέλτιστον οὕτως ἐν αὐτοῖς πᾶσιν ἡγεμονεῖν ἐῷ. τῇ δὲ δὴ πηδήσει τῆς καρδίας ἐν τῇ τῶν δεινῶν προσδοκίᾳ καὶ τῇ τοῦ θυμοῦ ἐγέρσει, προγιγνώσκοντες ὅτι διὰ πυρὸς ἡ τοιαύτη πᾶσα ἔμελλεν οἴδησις γίγνεσθαι τῶν θυμουμένων, ἐπικουρίαν αὐτῇ μηχανώμενοι τὴν τοῦ πλεύμονος ἰδέαν ἐνεφύτευσαν, πρῶτον μὲν μαλακὴν καὶ ἄναιμον, εἶτα σήραγγας ἐντὸς ἔχουσαν οἷον σπόγγου κατατετρημένας, ἵνα τό τε πνεῦμα καὶ τὸ πῶμα δεχομένη, ψύχουσα, ἀναπνοὴν καὶ ῥᾳστώνην ἐν τῷ καύματι παρέχοι. διὸ δὴ τῆς ἀρτηρίας ὀχετοὺς ἐπὶ τὸν πλεύμονα ἔτεμον καὶ περὶ τὴν καρδίαν αὐτὸν περιέστησαν οἷον ἅλμα μαλακόν, ἵν' ὁ θυμὸς ἡνίκα ἐν αὐτῇ ἀκμάζοι, πηδῶσα εἰς ὑπεῖκον καὶ ἀναψυχομένη, πονοῦσα ἧττον μᾶλλον τῷ λόγῳ μετὰ θυμοῦ δύναιτο ὑπηρετεῖν. | 1 PLATO TIM. p. 74 A καὶ περὶ τὸν διαυχένιον ἅμα καὶ νωτιαῖον μυελὸν ἐξ αὐτοῦ σφονδύλους πλάσας ὑπέτεινεν οἷον στρόφιγγας, ἀρξάμενος ἀπὸ τῆς κεφαλῆς, διὰ παντὸς τοῦ κύτους. | 2 PLATO TIM. p. 69 D πρῶτον μὲν ἡδονήν, μέγιστον κακοῦ δέλεαρ. CICERO CATO M. 13, 44 divine Plato escam malorum voluptatem appellat. | 3 PLATO TIM. p. 65 C ὅσα μὲν γὰρ εἰσιόντα περὶ τὰ φλέβια οἷονπερ δοκίμια τῆς γλώττης τεταμένα ἐπὶ τὴν καρδίαν εἰς τὰ νότερα τῆς σαρκὸς — ξυνάγει τὰ φλέβια.

32 ἐπειδὴ διάπυρος ἦν, ἐπικουρίαν μηχανώμενοι' φησί 'τὴν τοῦ πλεύμονος ἰδέαν ἐνεφύτευσαν, μαλακὴν καὶ ἄναιμον καὶ σήραγγας ἐντὸς ἔχουσαν οἷον μάλαγμα, ἵν' ὁ θυμὸς ὁπότ' ἐν αὐτῇ ζέσῃ, πηδῶσα εἰς ὑπεῖκον μὴ λυμαίνηται'. καὶ τὴν μὲν τῶν ἐπιθυμιῶν οἴκησιν προσεῖπεν ὡς γυναικωνῖτιν, τὴν τοῦ θυμοῦ δὲ ὥσπερ ἀνδρωνῖτιν· τόν γε μὴν σπλῆνα τῶν ἐντὸς μαγεῖον, ὅθεν πληρούμενος τῶν ἀποκαθαιρομένων μέγας καὶ ὕπουλος αὔξεται. 'μετὰ δὲ ταῦτα σαρξὶ πάντα' φησί 'κατεσκίασαν, προβολὴν τῶν ἔξωθεν τὴν σάρκα, οἷον τὰ πιλήματα, προθέμενοι'· νομὴν δὲ σαρκῶν ἔφη τὸ αἷμα· 'τῆς δὲ τροφῆς ἕνεκα' φησί 'διωχέτευσαν τὸ σῶμα, τέμνοντες ὥσπερ ἐν κήποις ὀχετούς, ὡς ἔκ τινος νάματος ἐπιόντος, ἀραιοῦ ὄντος αὐλῶνος τοῦ σώματος, τὰ τῶν φλεβῶν ῥέοι νάματα'. ἡνίκα δὲ ἡ τελευτὴ παραστῇ, λύεσθαί φησι τὰ τῆς ψυχῆς οἱονεὶ νεὼς πείσματα, μεθεῖσθαί τε αὐτὴν ἐλευθέραν. ταῦτα καὶ τὰ παραπλήσια μυρί' 6
ἄττα ἐστὶν ἑξῆς· ἀπόχρη δὲ τὰ δεδηλωμένα, ὡς μεγάλαι τε φύ-
198v. σιν εἰσὶν αἱ τροπικαί καὶ | ὡς ὑψηλοποιὸν αἱ μεταφοραί, καὶ ὅτι

2 ἐνεφύτευσε P | 3 οἷον Manutius: ὁποῖον P | ὁπό* P τ add. P | 6 μαγεῖον P ρεῖ superscr. p ἐκμαγεῖον Tollius | πληρουμενο* P | 8 φησί Robortellus: φύσιν P | 9 πιλήματα Faber: πηδήματα P πεδήματα Pearcius | 10 διοχέτευσαν P | 12 ῥεύματα Toupius | 15 ἀποχρὴ δεδηλωμένα P δὲ τὰ add. p ἀποχρὴ δὲ τάδε δηλούμενα Pearcius ἀπόχρη δὲ τάδε. δῆλον μὲν ὡς Ruhnkenius ἀποχρὴ δὲ τάδε δηλοῦν μὲν ὡς Toupius | ὡς — τροπικαί del. Vaucherus | 16 τροπαί Weiskius

6 PLATO TIM. p. 72 D διὸ δὴ καὶ ὅταν τινὲς ἀκαθάρσιαι γίγνωνται διὰ νόσους σώματος περὶ τὸ ἧπαρ, πάντα ἡ σπληνὸς καθαίρουσα αὐτὰ δέχεται μανότης, ἅτε κοίλου καὶ ἀναίμου ὑφανθέντος· ὅθεν πληρούμενος τῶν ἀποκαθαιρομένων μέγας καὶ ὕπουλος αὐξάνεται καὶ πάλιν, ὅταν καθαρθῇ τὸ σῶμα, ταπεινούμενος εἰς ταὐτὸν ξυνίζει. | 8 PLATO TIM. p. 74 B τὴν δὲ σάρκα προβολὴν μὲν καυμάτων, πρόβλημα δὲ χειμώνων, ἔτι δὲ πτωμάτων οἷον τὰ πιλητὰ ἔσεσθαι κτήματα. — p. 74 D οἷς ξυμπεριλαβὼν ὁ θεὸς ὀστᾶ καὶ μυελόν, δήσας πρὸς ἄλληλα νεύροις, μετὰ ταῦτα σαρξὶ αὐτὰ κατεσκίασεν ἄνωθεν. | 9 PLATO TIM. p. 79 E ὃ καλοῦμεν αἷμα, νομὴν σαρκῶν καὶ ξύμπαντος τοῦ σώματος, ὅθεν ὑδρευόμενα ἕκαστα πληροῖ τὴν τοῦ κενουμένου βάσιν. | 10 PLATO TIM. p. 77 C ταῦτα δὴ τὰ γένη πάντα φυτεύσαντες οἱ κρείττους τοῖς ἥττοσιν ἡμῖν τροφήν, τὸ σῶμα αὐτὸ ἡμῶν διωχέτευσαν τέμνοντες οἷον ἐν κήποις ὀχετούς, ἵν' ὥσπερ ἐκ νάματος ἐπιόντος ἄρδοιτο. — p. 78 E ὁπόταν — τὸ πῦρ — διαιωρούμενον ἀεὶ διὰ τῆς κοιλίας εἰσελθὸν τὰ σιτία καὶ ποτὰ λάβῃ, τήκει δὴ καὶ κατὰ σμικρὰ διαιροῦν, διὰ τῶν ἐξόδων ᾗπερ πορεύεται διάνον, οἷον ἐκ κρήνης ἐπ' ὀχετοὺς ἐπὶ τὰ φλέβας ἀντλοῦν αὐτὰ ῥεῖν ὥσπερ δι' αὐλῶνος τοῦ σώματος τὰ τῶν φλεβῶν ποιεῖ ῥεύματα. | 13 PLATO TIM. p. 85 E ἐὰν μὲν ἱκανὴ διὰ τέλους κρατῆσαι γένηται ⟨ἡ χολή⟩, πρὸς τὸ τοῦ μυελοῦ διαπεράσασα γένος κάουσα ἔλυσε τὰ τῆς ψυχῆς αὐτόθεν οἷον νεὼς πείσματα μεθῆκέ τε ἐλευθέραν.

οἱ παθητικοὶ καὶ φραστικοὶ κατὰ τὸ πλεῖστον αὐταῖς χαίρουσι τό- 32
7 ποι. ὅτι μέντοι καὶ ἡ χρῆσις τῶν τρόπων, ὥσπερ τἆλλα πάντα
καλὰ ἐν λόγοις, προαγωγὸν ἀεὶ πρὸς τὸ ἄμετρον δῆλον ἤδη, κἂν
ἐγὼ μὴ λέγω. ἐπὶ γὰρ τούτοις καὶ τὸν Πλάτωνα οὐχ ἥκιστα δια-
σύρουσι, πολλάκις ὥσπερ ὑπὸ βακχείας τινὸς τῶν λόγων εἰς ἀκρά-
τους καὶ ἀπηνεῖς μεταφορὰς καὶ εἰς ἀλληγορικὸν στόμφον ἐκφερό-
μενον. ‘οὐ γὰρ ῥᾴδιον ἐπινοεῖν’, φησίν ‘ὅτι πόλιν εἶναι δεῖ δίκην
κρατῆρος κεκραμένην, οὗ μαινόμενος μὲν οἶνος ἐγκεχυμένος ζεῖ, κο-
λαζόμενος δὲ ὑπὸ νήφοντος ἑτέρου θεοῦ, καλὴν κοινωνίαν λαβὼν
ἀγαθὸν πόμα καὶ μέτριον ἀπεργάζεται’. νήφοντα γάρ, φασί, θεὸν
τὸ ὕδωρ λέγειν, κόλασιν δὲ τὴν κρᾶσιν, ποιητοῦ τινος τῷ ὄντι οὐχὶ
8 νήφοντός ἐστι. τοῖς τοιούτοις ἐλαττώμασιν ἐπιχειρῶν † ὅμως αὐτὸ
Κεκίλιος ἐν τοῖς ὑπὲρ Λυσίου συγγράμμασιν ἀπεθάρρησε τῷ παντὶ
Λυσίαν ἀμείνω Πλάτωνος ἀποφήνασθαι, δυσὶ πάθεσι χρησάμενος
ἀκρίτοις· φιλῶν γὰρ τὸν Λυσίαν ὡς οὐδ’ αὐτὸς αὐτόν, ὅμως μᾶλ-
λον μισεῖ [τῷ παντὶ] Πλάτωνα ἢ Λυσίαν φιλεῖ. πλὴν οὗτος μὲν
ὑπὸ φιλονεικίας οὐδὲ τὰ θέματα ὁμολογούμενα, καθάπερ ᾠήθη*.
ὡς γὰρ ἀναμάρτητον καὶ καθαρὸν τὸν ῥήτορα προφέρει πολλαχῇ
διημαρτημένου τοῦ Πλάτωνος· τὸ δ’ ἦν ἄρα οὐχὶ τοιοῦτον, οὐδὲ ὀλί-
γου δεῖ.

33 Φέρε δή, λάβωμεν τῷ ὄντι καθαρόν τινα συγ|γραφέα καὶ 199r
ἀνέγκλητον. ἆρ’ οὐκ ἄξιόν ἐστι διαπορῆσαι περὶ αὐτοῦ τούτου κα- ΚΘ
θολικῶς, πότερόν ποτε κρεῖττον ἐν ποιήμασι καὶ λόγοις μέγεθος ἐπ’
ἐνίοις διημαρτημένοις, ἢ τὸ σύμμετρον μὲν ἐν τοῖς κατορθώμασιν
ὑγιὲς δὲ πάντῃ καὶ ἀδιάπτωτον; καὶ ἔτι νὴ Δία, πότερόν ποτε αἱ
πλείους ἀρεταὶ τὸ πρωτεῖον ἐν λόγοις ἢ αἱ μείζους δικαίως ἂν φέ-
ροιντο; ἔστι γὰρ ταῦτ’ οἰκεῖα τοῖς περὶ ὕψους σκέμματα καὶ ἐπι-

2 καὶ τἆλλα Weiskius | πάντα τὰ καλὰ Spengelius | 3 προσαγωγὸν Vaucherus | αἰεὶ P | 7 ἐννοεῖν codd. Platonis | δεῖ om. P | 8 κεκρα*μένην P σ add. p | οὗ] ἀντὶ τοῦ ὅπου in marg. P | ἐκκεχυμένος P | ζῆ P ζεῖ p | 9 δ’ ὑπὸ P | 11 τὸ* P | 12 ἐλαττώμασι P ν add. p | ἐπιχαίρων Vaucherus | ὤμως Morus ὠμότατα Ruhnkenius ὁμοίως καὶ αὐτὸς Weiskius ὁμοίως αὐτοῦ Blassius d. griech. beredsamk. p. 192 | αὐτὸ κ**κίλιος P αὐτὸ καὶ ὁ κεκίλιος p αὐτὸ καὶ ὁ Καικίλιος Robortellus ὅμως αὐτόθεν ὁ Manutius ὁ μισοπλάτων Καικίλιος Reiskius ὀλίγοις αὐτίκα Καικίλιος Kayserus n. iahrb. LXX p. 293 | 13 τῷ παντὶ del. Vaucherus | 16 τῷ παντὶ del. Reiskius | 17 θεάματα* Robortellus | θέματα τίθησιν Reiskius | post ᾠήθη lacunam indicavit Spengelius | παρίστησι add. Kayserus n. iahrb. LXX p. 293 | 20 δεῖν Robortellus δεῖ. εἰ δὲ καὶ ἦν, φέρε Kayserus n. iahrb. LXX p. 293 | 23 ἐπ’ Kayserus n. iahrb. LXX p. 294: ἐν P | 24 διημαρτημένον Manutius | 27 σκέμμασι Reiskius

7 PLATO LEGG. VI p. 773 C

33 κρίσεως ἐξ ἅπαντος δεόμενα. ἐγὼ δ' οἶδα μέν, ὡς αἱ ὑπερμεγέθεις 2
φύσεις ἥκιστα καθαραί· τὸ γὰρ ἐν παντὶ ἀκριβὲς κίνδυνος μικρότη-
τος, ἐν δὲ τοῖς μεγέθεσιν, ὥσπερ ἐν τοῖς ἄγαν πλούτοις, εἶναί τι
χρὴ καὶ παρολιγωρούμενον· μήποτε δὲ τοῦτο καὶ ἀναγκαῖον ᾖ, τὸ
τὰς μὲν ταπεινὰς καὶ μέσας φύσεις διὰ τὸ μηδαμῆ παρακινδυνεύ-
ειν μηδὲ ἐφίεσθαι τῶν ἄκρων ἀναμαρτήτους ὡς ἐπὶ τὸ πολὺ καὶ
ἀσφαλεστέρας διαμένειν, τὰ δὲ μεγάλα ἐπισφαλῆ δι' αὐτὸ γίνεσθαι
τὸ μέγεθος. ἀλλὰ μὴν οὐδὲ ἐκεῖνο ἀγνοῶ τὸ δεύτερον, ὅτι φύσει 3
πάντα τὰ ἀνθρώπεια ἀπὸ τοῦ χείρονος ἀεὶ μᾶλλον ἐπιγινώσκεται
καὶ τῶν μὲν ἁμαρτημάτων ἀνεξάλειπτος ἡ μνήμη παραμένει, τῶν
καλῶν δὲ ταχέως ἀπορρεῖ. παρατεθειμένος δ' οὐκ ὀλίγα καὶ αὐ- 4
τὸς ἁμαρτήματα καὶ Ὁμήρου καὶ τῶν ἄλλων, ὅσοι μέγιστοι, καὶ
ἥκιστα τοῖς πταίσμασιν ἀρεσκόμενος, ὅμως δὲ οὐχ ἁμαρτήματα
μᾶλλον αὐτὰ ἑκούσια καλῶν ἢ παροράματα δι' ἀμέλειαν εἰκῆ που
καὶ ὡς ἔτυχεν ὑπὸ μεγαλοφυΐας ἀνεπιστάτως παρενηνεγμένα, οὐ-
199v. δὲν | ἧττον οἶμαι τὰς μείζονας ἀρετάς, εἰ καὶ μὴ ἐν πᾶσι διομαλί-
ζοιεν, τὴν τοῦ πρωτείου ψῆφον μᾶλλον ἀεὶ φέρεσθαι, κἂν εἰ μη-
δενὸς ἑτέρου, τῆς μεγαλοφροσύνης αὐτῆς ἕνεκα. ἐπείτοιγε καὶ
ἄπτωτος ὁ Ἀπολλώνιος ἐν τοῖς Ἀργοναύταις [ποιητὴς] κἀν τοῖς βου-
κολικοῖς πλὴν ὀλίγων τῶν ἔξωθεν ὁ Θεόκριτος ἐπιτυχέστατος· ἆρ'
οὐχ Ὅμηρος ἂν μᾶλλον [ἢ Ἀπολλώνιος] ἐθέλοις γενέσθαι; τί δέ; 5
Ἐρατοσθένης ἐν τῇ Ἠριγόνῃ — διὰ πάντων γὰρ ἀμώμητον τὸ ποιη-
μάτιον — Ἀρχιλόχου πολλὰ καὶ ἀνοικονόμητα παρασύροντος † κἀ-
κείνης τῆς ἐκβολῆς τοῦ δαιμονίου πνεύματος, ἣν ὑπὸ νόμον τάξαι
δύσκολον, ἆρα δὴ μείζων ποιητής; τί δ'; ἐν μέλεσι μᾶλλον ἂν

1 δέομενα* P | 2 **γὰρ P τὸ add. p τῷ γὰρ — ἀκριβεῖ G. S. A. class. journ. III, 5 p. 89 | κίνδυνος Manutius: κίνδυνοις P κινδυνεύει Toupius | 3 ὢ*περ P σ add. p | 4 τούτου P | ἢ P ἢι p | 5 ἢ μέσας Faber | 7 τὸ δὲ P | 8 ἐκείνου P | τὸ δεύτερον del. Morus | 9 αἰεὶ P | 14 δι' ἀμέλειαν del. Weiskius | 15 ὡς ἔτυχεν del. Weiskius | 16 ἀρετάς Petra: αἰτίας P | 17 αἰεὶ P | μηδενὸς Spengelius: μὴ δι' ἑνὸς P μὴ δι' ἑτέρου τινὸς Morus | 19 Ἀπολλώνιος ἐν τοῖς Spengelius: ἀπολλωνιτοις P ο superscr. ι p | ὁ τῶν Ἀργοναύτων ποιητὴς Manutius ὁ τοὺς Ἀργοναύτας ποιήσας Toupius | κάν — ἐπιτυχέστατος del. Toupius, alieno loco posita et mutilata in fine censet Hardionus mém. de l'acad. des inscr. V p. 202 sqq. | βουκολιῶῖς P | 20 ἆρ' οὐχ Pearcius: ἆρ' οὖν P | 21 ἢ Ἀπολλώνιος del. Spengelius | Ὅμηρος et Ἀπολλώνιος transp. Toupius | ἆρ' οὖν Θεόκριτος ἂν μᾶλλον ἢ Ἀπολλώνιος ἐθέλοις γενέσθαι ἢ Ὅμηρος Tollius | ἆρ' οὖν ἢ Ὅμηρος Θεόκριτος ἂν μᾶλλον Schurzfleischius | Ὁμήρου ἂν μᾶλλον Θεόκριτος ἢ Ἀπολλώνιος Vaucherus | 23 Ἀρχιλόχου Manutius: Ἀρχίλοχον P | παρασύροντος Manutius: παρασύροντας P | 24 καὶ κινοῦντος ἐξ ἐκείνης Weiskius f. κατακινήσει Schurzfleischius | κακείνη — πνεύματος ὁρμή, ἣν Robortellus κακείνῃ τῇ ἐμβολῇ Toupius emend. in Suid. II p. 92 | 25 μέλεσσι P

εἶναι Βακχυλίδης ἕλοιο ἢ Πίνδαρος, καὶ ἐν τραγῳδίᾳ Ἴων ὁ Χῖος ἢ 33 νὴ Δία Σοφοκλῆς; ἐπειδὴ οἱ μὲν ἀδιάπτωτοι καὶ ἐν τῷ γλαφυρῷ πάντη κεκαλλιγραφημένοι, ὁ δὲ Πίνδαρος καὶ ὁ Σοφοκλῆς ὁτὲ μὲν οἷον πάντα ἐπιφλέγουσι τῇ φορᾷ, σβέννυνται δ' ἀλόγως πολλάκις καὶ πίπτουσιν ἀτυχέστατα. ἢ οὐδεὶς ἂν εὖ φρονῶν ἑνὸς δράματος, τοῦ Οἰδίποδος, εἰς ταὐτὸ συνθεὶς τὰ Ἴωνος πάντ' ἀντιτιμήσαιτο
34 ἑξῆς. εἰ δ' ἀριθμῷ, μὴ τῷ μεγέθει κρίνοιτο τὰ κατορθώματα, οὕτως ἂν καὶ Ὑπερίδης τῷ παντὶ προέχοι Δημοσθένους. ἔστι γὰρ αὐτοῦ πολυφωνότερος καὶ πλείους ἀρετὰς ἔχων καὶ σχεδὸν ὕπακρος ἐν πᾶσιν, ὡς ὁ πένταθλος, ὥστε τῶν μὲν πρωτείων [ἐν ἅπασι]
2 τῶν ἄλλων ἀγωνιστῶν λείπεσθαι, πρωτεύειν δὲ τῶν ἰδιωτῶν. ὁ μέν γε Ὑπερίδης πρὸς τῷ πάντα ἔξω γε τῆς συνθέσεως μιμεῖσθαι τὰ 200r. δημοσθένεια κατορθώματα καὶ τὰς λυσιακὰς ἐκ περιττοῦ περιείληφεν ἀρετάς τε καὶ χάριτας. καὶ γὰρ λαλεῖ μετὰ ἀφελείας, ἔνθα χρή, καὶ οὐ πάντα ἑξῆς καὶ μονοτόνως ὡς ὁ Δημοσθένης λέγει, τό τε ἠθικὸν ἔχει [μετὰ γλυκύτητος ἡδὺ] λιτῶς ἐφηδυνόμενον· ἄφατοί τε περὶ αὐτόν εἰσιν ἀστεϊσμοί, μυκτὴρ πολιτικώτατος, εὐγένεια, τὸ κατὰ τὰς εἰρωνείας εὐπάλαιστρον, σκώμματα οὐκ ἄμουσα οὐδ'

3 κεκαλληγραφημένοι P corr. P | 4 σβέννυνται τ' Seagerus class. journ. XXIII, 46 p. 321 | 6 Ἴωνος πάντ' Spengelius: πάντ' om. P Ἴωνος ἅπαντα Toupius | 7 ἐξ ἴσης Tollius | μεγέθει Pearcius: ἀληθεῖ P | 8 περὶ ὑπερίδου in marg. P | 9 ὕπακρως ο superscr. P | 10 ὅς γε Manutius | 11 τῶν ἄλλων ἀγωνιστῶν del. Kayserus heidelb. iahrb. 1853 p. 642 | λείπεται, πρωτεύει Manutius | 13 παρείληφεν Morus | 14 λαλεῖ μετὰ Tollius: λαλεύματα P τὰ σχήματα μετ' Reiskius μαλακίζεται Manutius ἁπλοΐζεται Vaucherus | 15 λέγει Manutius: λέγεται P | 16 ἡδὺ del. Weiskius | μετὰ γλυκύτητος ἡδὺ del. Morus | λιτῶς ἐφηδυνόμενον del. Tollius | aut μετὰ λιτότητος ἡδὺ aut λιτῶς ἐφηδυνόμενον Reiskius | 17 ἀστ*ισμοί P ἀστεισμοί P | ἐμμέλεια Ruhnkenius εὐμέλεια G. S. A. class. journ. III, 5 p. 69 num εὐτέλεια? | 18 εὐπάλαιστρον ρ eraso P | σκόμματα P σκώμματα p

9 PLATO ERAST. p. 135 D ἆρ' ἐννοῶ, ἔφην, οἷον λέγεις τὸν φιλόσοφον ἄνδρα; δοκεῖς γάρ μοι λέγειν οἷον ἐν τῇ ἀγωνίᾳ εἰσὶν οἱ πένταθλοι πρὸς τοὺς δρομέας ἢ τοὺς παλαιστάς. καὶ γὰρ ἐκεῖνοι τούτων μὲν λείπονται κατὰ τὰ τούτων ἆθλα καὶ δεύτεροί εἰσι πρὸς τούτους, τῶν δὲ ἄλλων ἀθλητῶν πρῶτοι καὶ νικῶσιν αὐτούς; τάχ' ἂν ἴσως τοιοῦτόν τι λέγοις καὶ τὸ φιλοσοφεῖν ἀπεργάζεσθαι τοὺς ἐπιτηδεύοντας τοῦτο τὸ ἐπιτήδευμα τῶν μὲν πρώτων εἰς ξύνεσιν περὶ τὰς τέχνας ἐλλείπεσθαι, τὰ δευτερεῖα δ' ἔχοντας τῶν ἄλλων περιεῖναι καὶ οὕτως γίγνεσθαι περὶ πάντα ὕπακρόν τινα ἄνδρα τὸν πεφιλοσοφηκότα. | 14 PHOTIUS BIBL. 262 p. 484 Καικίλιος δὲ ἁμαρτάνει εὑρετικὸν μὲν τὸν ἄνδρα ⟨Λυσίαν⟩ εἴπερ ἄλλον τινὰ συνομολογῶν, οἰκονομῆσαι δὲ τὰ εὑρεθέντα οὐχ οὕτως ἱκανόν· καὶ γὰρ κἂν τούτῳ τῷ μέρει τῆς ἀρετῆς τοῦ λόγου οὐδενὸς ὁρᾶται φαυλότερος.

34 ἀνάγωγα κατὰ τοὺς ἀττικοὺς ἐκείνους, ἀλλ' ἐπικείμενα, διασυρμός
τε ἐπιδέξιος καὶ πολὺ τὸ κωμικὸν καὶ μετὰ παιδιᾶς εὐστόχου
κέντρον, ἀμίμητον δὲ εἰπεῖν τὸ ἐν πᾶσι τούτοις ἐπαφρόδιτον· οἰκτί-
σασθαί τε προσφυέστατος, ἔτι δὲ μυθολογῆσαι κεχυμένος καὶ ἐν
ὑγρῷ πνεύματι διεξοδεῦσαι ἔτι εὐκαμπὴς ἄκρως, ὥσπερ ἀμέλει τὰ
μὲν περὶ τὴν Λητὼ ποιητικώτερα, τὸν δ' ἐπιτάφιον ἐπιδεικτικῶς, ὡς
οὐκ οἶδ' εἴ τις ἄλλος, διέθετο. ὁ δὲ Δημοσθένης ἀνηθοποίητος ἀδιά- 3
χυτος, ἥκιστα ὑγρὸς ἢ ἐπιδεικτικός, ἁπάντων ἑξῆς τῶν προειρημέ-
νων κατὰ τὸ πλέον ἄμοιρος, ἔνθα μὲν γελοῖος εἶναι βιάζεται καὶ
ἀστεῖος, οὐ γέλωτα κινεῖ μᾶλλον ἢ καταγελᾶται, ὅταν δὲ ἐγγίζειν
θέλῃ τῷ ἐπίχαρις εἶναι, τότε πλέον ἀφίσταται. τό γέ τοι περὶ
Φρύνης ἢ Ἀθηνογένους λογίδιον ἐπιχειρήσας γράφειν ἔτι μᾶλλον ἂν
Ὑπερίδην συνέστησεν. ἀλλ' ἐπειδήπερ, οἶμαι, τὰ μὲν θατέρου καλά, 4
καὶ εἰ πολλά, ὅμως ἀμεγέθη † καρδίῃ νήφοντος ἀργὰ καὶ τὸν ἀκρο-
ατὴν ἠρεμεῖν ἐῶντα — οὐδεὶς γοῦν Ὑπερίδην ἀναγινώσκων φοβεῖ-

1 ἀλλὰ κατὰ Tollius Ruhnkenius | ἀττικοὺς κώμους Kayserus heidelb. iahrb. 1853 p. 642 num κωμικούς? | ἀλλ' del. Tollius Ruhnkenius | ἐπιεικῆ Ruhnkenius ἐπικεχαριτωμένα Weiskius εὐσχήμονα Kayserus | 2 παιδείας P παιδιᾶς p | 5 νεύματι Seguierius not. d'un manuscr. p. 44 (not. et extr. XIV, 2 p. 194) | ἄκρως Manutius: ἄκρος P | 8 ὑγὸ*ς P | 9 μὲν Finckhius n. iahrb. LXIX p. 638: μέντοι P | 11 ἐπίχαρις Toupius: ἐπιχαρὴς P | τόγε - συνέστησεν del. Dudithius apud Langbainium | 12 Φρύνης Schurzfleischius: φρυγίης P | 14 ἀμεγέθη del. Schurzfleischius | καρδίᾳ Toupius | ἀμεγέθη καρδίην νήφοντος ἔργα Pearcius | καὶ καρώδη οἷα νήφοντος Reiskius | ἀργὰ del. Vaucherus | 15 ὑπερ*δην P ὑπερίδην P | ἀναγινώ**κων P σ add. p

6 MENANDER DE ID. I, 6 (III p. 219 W.) ἔννοιαι τοίνυν εἰσὶ σεμναὶ μάλιστα μὲν αἱ περὶ θεῶν ὡς περὶ θεῶν λεγόμεναι —. πολλὰς ἂν εὕροις τοιαύτας ἐννοίας παρὰ τῷ Πλάτωνι —, παρὰ μέντοι τοῖς ῥήτορσιν ἥκιστα. ἐπεὶ καὶ τὰ ἐν δηλιακῷ Ὑπερίδου ποιητικῶς μᾶλλον καὶ μυθικῶς εἴρηται. MAXIMUS PLANUDES V p. 481 W. βουλόμενος γὰρ ⟨Ὑπερίδης⟩ ἐξ ἀρχαίου δεῖξαι τοῖς Ἀθηναίοις τὰ ἐν Δήλῳ ἱερὰ προσήκοντα πολλῷ κέχρηται τῷ μύθῳ. ANONYMI RHET. I p. 439 SP. ποιεῖ τε ἡδονὴν ἐνίοτε καὶ ἀρχαιολογία παραληφθεῖσα εὐκαίρως, ὡς παρ' Ὑπερίδῃ ὁ τῆς Λητοῦς μῦθος. | 11 ANONYMI RHET. I p. 455 SP. ἀσεβείας κρινομένη Φρύνη· καὶ γὰρ ἐκώμασεν ἐν Λυκείῳ, καινὸν εἰσήγαγε θεὸν καὶ θιάσους ἀνδρῶν καὶ γυναικῶν συνήγαγεν. ATHEN. XIII p. 590 E ὁ δὲ Ὑπερείδης συναγορεύων τῇ Φρύνῃ, ὡς οὐδὲν ἤνυε λέγων, — παραγαγὼν αὐτὴν εἰς τοὐμφανὲς καὶ περιρρήξας τοὺς χιτωνίσκους γυμνά τε τὰ στέρνα ποιήσας τοὺς ἐπιλογικοὺς οἴκτους ἐκ τῆς ὄψεως αὐτῆς ἐπερρητόρευσε δεισιδαιμονῆσαί τ' ἐποίησε τοὺς δικαστὰς καὶ τὴν ὑποφῆτιν καὶ ζάκορον Ἀφροδίτης ἐλέῳ χρησαμένους μὴ ἀποκτεῖναι. QUINTILIANUS X, 5, 2 vertere graeca in latinum Messallae placuit, — adeo ut etiam cum illa Hyperidis ⟨oratione⟩ pro Phryne difficillima Romanis subtilitate contenderet.

ται —, ὁ δὲ ἔνθεν ἑλὼν τοῦ μεγαλοφυεστάτου καὶ ἐ|π' ἄκρον ἀρε- 34
τὰς συντετελεσμένας, ὑψηγορίας τόνον, ἔμψυχα πάθη, περιουσίαν 200 r.
ἀγχίνοιαν τάχος, ἔνθα δὴ κύριον, τὴν ἅπασιν ἀπρόσιτον δεινότητα
καὶ δύναμιν, ἐπειδὴ ταῦτα, φημί, ὡς θεόπεμπτα [δεινὰ] δωρήματα
— οὐ γὰρ εἰπεῖν θεμιτὸν ἀνθρώπινα — ἀθρόα ἐς ἑαυτὸν ἔσπασε,
διὰ τοῦτο οἷς ἔχει καλοῖς ἅπαντας ἀεὶ νικᾷ καὶ ὑπὲρ ὧν οὐκ ἔχει,
καὶ ὡσπερεὶ καταβροντᾷ καὶ καταφλέγει τοὺς ἀπ' αἰῶνος ῥήτορας·
καὶ θᾶττον ἄν τις κεραυνοῖς φερομένοις ἀντανοῖξαι τὰ ὄμματα δύ-
35 ναιτο ἢ ἀντοφθαλμῆσαι τοῖς ἐπαλλήλοις ἐκείνου πάθεσιν. ἐπὶ
μέντοι τοῦ Πλάτωνος καὶ ἄλλη τίς ἐστιν, ὡς ἔφην, διαφορά. οὐ
γὰρ μεγέθει τῶν ἀρετῶν, ἀλλὰ καὶ τῷ πλήθει πολὺ λειπόμενος
αὐτοῦ Λυσίας ὅμως πλεῖον ἔτι τοῖς ἁμαρτήμασι περιττεύει ἢ ταῖς
ἀρεταῖς λείπεται.

2 Τί ποτ' οὖν εἶδον οἱ ἰσόθεοι ἐκεῖνοι καὶ τῶν μεγίστων ἐπορεξά-
μενοι τῆς συγγραφῆς, τῆς δ' ἐν ἅπασιν ἀκριβείας ὑπερφρονήσαντες;
πρὸς πολλοῖς ἄλλοις ἐκεῖνο, ὅτι ἡ φύσις οὐ ταπεινὸν ἡμᾶς ζῷον
οὐδ' ἀγεννὲς † ἔκρινε τὸν βίον καὶ εἰς τὸν σύμπαντα κόσμον ἐπά-
γουσα, θεατάς τινας τῶν ἄθλων αὐτῆς ἐσομένους καὶ φιλοτιμοτά-
τους ἀγωνιστάς, εὐθὺς ἄμαχον ἔρωτα ἐνέφυσεν ἡμῶν ταῖς ψυχαῖς
παντὸς ἀεὶ τοῦ μεγάλου καὶ ὡς πρὸς ἡμᾶς δαιμονιωτέρου. διόπερ

1 ἔνθεν λαβὼν Robortellus ἔνθα μὲν Spengelius | τὸ μεγαλοφυέστατον Pearcius τὸν τοῦ μεγαλοφυεστάτου Morus | τὰς μεγαλοφυεστάτας Bastius app. ep. crit. p. 11 | τὰ μεγαλοφυέστατα καὶ — συντετελεσμένα Reiskius | 3 ἔνθα δὲ Spengelius | 4 τινὰ Manutius | 5 αυτὸν P ἑ add. p | 6 κα*λοῖς P | ἔχει ὡσπερεὶ Faber | ἔχει ἐπαρκοῦσιν Kayserus n. iahrb. LXX p. 293 | ἅπαντας ἀεὶ νικᾷ del. Vaucherus | 7 καταφλέγει Manutius: καταφέγγη P λ superscr. p | πάντας τοὺς Tollius | num τοὺς ἀπταίστους? | 10 καὶ Λυσίου Morus | 12 αὐτοῦ Λυσίας Spengelius: ἀπουσίας P ὁ Λυσίας Manutius | ὅμως Toupius: ὁ μὲν P ὅθεν Schurzfleischius ὅς γε vel ὃς καὶ Morus τοῦ μὲν Toupius | 15 ἐ* ἅπασιν P ν add. p | 16 ἡμᾶς del. Pearcius | 17 ἔ**κρινε P ἔκτισε Seagerus class. journ. XXIII, 46 p. 322 | βίον ἡμᾶς Pearcius | εἰσάγουσα Reiskius | 18 ἄθλων Reiskius: ὅλων P | 20 παντὸς καλοῦ καὶ μεγάλου Faber | δαιμονιώτερον Morus

17 IAMBLICH. V. PYTH. 58 ἐοικέναι γὰρ ἔφη ⟨Πυθαγόρας⟩ τὴν εἰς τὸν βίον τῶν ἀνθρώπων φύσιν τῷ ἐπὶ τὰς πανηγύρεις ἀπαντῶντι ὁμίλῳ. ὡς γὰρ ἐκεῖσε παντοδαποὶ φοιτῶντες ἄνθρωποι ἄλλος κατ' ἄλλου χρείαν ἀφικνεῖται, ὁ μὲν χρηματισμοῦ τε καὶ κέρδους χάριν ἀπεμπολῆσαι τὸν φόρτον ἐπειγόμενος, ὁ δὲ δόξης ἕνεκα ἐπιδειξόμενος ἥκει τὴν ῥώμην τοῦ σώματος· ἔστι δὲ καὶ τρίτον εἶδος καὶ τό γε ἐλευθερώτατον συναλιζομένων τύπων θέας ἕνεκα καὶ δημιουργημάτων καλῶν καὶ ἀρετῆς ἔργων καὶ λόγων, ὧν αἱ ἐπιδείξεις εἰώθεσαν ἐν ταῖς πανηγύρεσι γίνεσθαι· οὕτω δὴ κἀν τῷ βίῳ παντοδαποὺς ἀνθρώπους ταῖς σπουδαῖς εἰς ταὐτὸ συναθροίζεσθαι. cf. HERACLIDES PONTICUS APUD CICERONEM TUSC. v, 3, 8 sq.

35 τῇ θεωρίᾳ καὶ διανοίᾳ τῆς ἀνθρωπίνης ἐπιβολῆς οὐδ' ὁ σύμπας
κόσμος ἀρκεῖ, ἀλλὰ καὶ τοὺς τοῦ περιέχοντος πολλάκις ὅρους ἐκβαί-
201 r. νουσιν αἱ | ἐπίνοιαι, καὶ εἴ τις περιβλέψαιτο ἐν κύκλῳ τὸν βίον,
ὅσῳ πλέον ἔχει τὸ περιττὸν ἐν πᾶσι καὶ μέγα καὶ καλόν, ταχέως
εἴσεται, πρὸς ἃ γεγόναμεν. ἔνθεν φυσικῶς πως ἀγόμενοι μὰ Δί'
οὐ τὰ μικρὰ ῥεῖθρα θαυμάζομεν, εἰ καὶ διαυγῆ καὶ χρήσιμα, 4
ἀλλὰ τὸν Νεῖλον καὶ Ἴστρον ἢ Ῥῆνον, πολὺ δ' ἔτι μᾶλλον τὸν
ὠκεανόν· οὐδέ γε τὸ ὑφ' ἡμῶν τουτὶ φλογίον ἀνακαιόμενον, ἐπεὶ κα-
θαρὸν σώζει τὸ φέγγος, ἐκπληττόμεθα τῶν οὐρανίων μᾶλλον, καί-
τοι πολλάκις ἐπισκοτουμένων, οὐδὲ τῶν τῆς Αἴτνης κρατήρων ἀξιο-
θαυμαστότερον νομίζομεν, ἧς αἱ ἀναχοαὶ πέτρους τε ἐκ βυθοῦ καὶ
ὅλους ὄχθους ἀναφέρουσι καὶ ποταμοὺς ἐνίοτε γηγενοῦς ἐκείνου καὶ
αὐτονόμου προχέουσι πυρός. ἀλλ' ἐπὶ τῶν τοιούτων ἁπάντων
ἐκεῖν' ἂν εἴποιμεν, ὡς εὐπόριστον μὲν ἀνθρώποις τὸ χρειῶδες ἢ καὶ
ἀναγκαῖον, θαυμαστὸν δ' ὅμως ἀεὶ τὸ παράδοξον. οὐκοῦν ἐπί γε
τῶν ἐν λόγοις μεγαλοφυῶν, ἐφ' ὧν οὐκέτ' ἔξω τῆς χρείας καὶ 36
ὠφελείας πίπτει τὸ μέγεθος, προσήκει συνθεωρεῖν αὐτόθεν, ὅτι τοῦ
ἀναμαρτήτου πολὺ ἀφεστῶτες οἱ τηλικοῦτοι ὅμως πάντες εἰσὶν
ἐπάνω τοῦ θνητοῦ· καὶ τὰ μὲν ἄλλα τοὺς χρωμένους ἀνθρώπους
ἐλέγχει, τὸ δ' ὕψος. ἐγγὺς αἴρει μεγαλοφροσύνης θεοῦ· καὶ τὸ μὲν
ἄπταιστον οὐ ψέγεται, τὸ μέγα δὲ καὶ θαυμάζεται. τί χρὴ πρὸς 2
τούτοις ἔτι λέγειν, ὡς ἐκείνων τῶν ἀνδρῶν ἕκαστος ἅπαντα τὰ σφάλ-
ματα ἑνὶ ἐξωνεῖται πολλάκις ὕψει καὶ κατορθώματι, καὶ τὸ κυριώτατον,
201 v. ὡς, εἴ γε ἐκλέξας | τὰ Ὁμήρου, τὰ Δημοσθένους, τὰ Πλάτωνος, τῶν
ἄλλων ὅσοι δὴ μέγιστοι παραπτώματα πάντα ὁμόσε συναθροίσειεν,

1 διανοίας — ἐπιβολῇ Ruhnkenius | 2 ἐκβαίνουσι*ν P | 4 ὡς Faber | ὡς τὸ περιττὸν Vaucherus | τὸ μέγα τοῦ καλοῦ Tollius | 5 γεγον*μεν P γεγόναμεν P | 6 εἰ Faber: ἢ P | 8 εἴπερ Tollius | 12 θείου ἐνίοτε Faber | γηγενοῦς Marklandus ad Lys. p. 577: τοῦ γένους P | τοῦ γένους ἐκείνου del. Faber | 13 αὐτονόμου Wyttenbachius bibl. crit. III p. 38: αὐτοῦ μόνου P αὐτόχθονος Ruhnkenius αὐτὸ μόνον Vaucherus | 15 δ' ὅλως ἐστὶ τὸ Faber | αἰεὶ P | ἐπ' P ἐπὶ P | 16 οὐ δῆτ' ἔσω τῆς Dacerius | 17 προσή*κει P | 18 πάντως Tollius παντὸς Pearcius τῷ παντὶ aut στάντες Weiskius | 23 ὕψους κατορθώματι καὶ τὸ καιριώτατον Kayserus n. iahrb. LXX p. 295 | 24 εἴ τις Manutius

24 **DIONYSIUS HALIC. EP. AD POMP. 2 p. 765 R.** οὐδὲν οὖν διαφερόμεθα πρὸς ἀλλήλους· σύ τε γὰρ ὁμολογεῖς ἀναγκαῖον εἶναι τὸν ἐπιβαλλόμενον μεγάλοις καὶ σφάλλεσθαί ποτε, ἐγώ τέ φημι τῆς ὑψηλῆς καὶ μεγαλοπρεποῦς καὶ παρακεκινδυνευμένης φράσεως ἐφιέμενον Πλάτωνα μὴ περὶ πάντα τὰ μέρη κατορθοῦν, πολλοστὴν μέντοι μοῖραν ἔχειν τῶν κατορθουμένων τὰ διαμαρτανούμενα ὑπ' αὐτοῦ.

ἐλάχιστον ἄν τι, μᾶλλον δ' οὐδὲ πολλοστημόριον ἂν εὑρεθείη τῶν 36 ἐκείνοις τοῖς ἥρωσι πάντη κατορθουμένων. διὰ ταῦθ' ὁ πᾶς αὐτοῖς αἰὼν καὶ βίος, οὐ δυνάμενος ὑπὸ τοῦ φθόνου παρανοίας ἁλῶναι, φέρων ἀπέδωκεν τὰ νικητήρια καὶ ἄχρι νῦν ἀναφαίρετα φυλάττει καὶ ἔοικε τηρήσειν,

3 ἔστ' ἂν ὕδωρ τε ῥέῃ καὶ δένδρεα μακρὰ τεθήλῃ.

πρὸς μέντοι γε τὸν γράφοντα, ὡς ὁ κολοσσὸς ὁ ἡμαρτημένος οὐ κρείττων ἢ ὁ Πολυκλείτου δορυφόρος, παράκειται πρὸς πολλοῖς εἰπεῖν, ὅτι ἐπὶ μὲν τέχνης θαυμάζεται τὸ ἀκριβέστατον, ἐπὶ δὲ τῶν φυσικῶν ἔργων τὸ μέγεθος, φύσει δὲ λογικὸν ὁ ἄνθρωπος· κἀπὶ μὲν ἀνδριάντων ζητεῖται τὸ ὅμοιον ἀνθρώπῳ, ἐπὶ δὲ τοῦ λόγου τὸ ὑπεραῖρον, ὡς ἔφην, τὰ ἀνθρώπινα.

4 προσήκει δ' ὅμως — ἀνακάμπτει γὰρ ἐπὶ τὴν ἀρχὴν ἡμῖν τοῦ ὑπομνήματος ἡ παραίνεσις — ἐπειδὴ τὸ μὲν ἀδιάπτωτον ὡς ἐπὶ τὸ πολὺ τέχνης ἐστὶ κατόρθωμα, τὸ δ' ἐν ὑπεροχῇ πλὴν οὐχ ὁμότονον, μεγαλοφυΐας, βοήθημα τῇ φύσει πάντη πορίζεσθαι τὴν τέχνην· ἡ γὰρ ἀλληλουχία τούτων ἴσως γένοιτ' ἂν τὸ τέλειον. τοσαῦτα ἦν ἀναγκαῖον ὑπὲρ τῶν προτεθέντων ἐπικρῖναι σκεμμάτων· χαιρέτω δ' ἕκαστος οἷς ἥδεται.

37 Ταῖς δὲ μεταφοραῖς γειτνιῶσιν — ἐπανιτέον γὰρ — αἱ παραβολαὶ καὶ εἰκόνες, ἐκείνῃ μόνον παραλλάττουσαι * *

38 * * στοι καὶ αἱ τοιαῦται· 'εἰ μὴ τὸν ἐγκέφαλον ἐν ταῖς 202 r. πτέρναις καταπεπατημένον φορεῖτε'. διόπερ εἰδέναι χρὴ τὸ μέχρι

1 πολοστημόριον P λ add. p | 11 ἐπὶ δὲ λόγων Tollius | 15 ὑπεροχῇ πολλῇ πλὴν Toupius | 16 πάντη Tollius: παντί P | τῇ γὰρ ἀλληλουχίᾳ Tollius | 20 ἐκείνη P ἐκείνηι p | desunt duo folia in P | 23 ἄπι]στοι B. G. Weiskius de orat. de Halon. Demosth. vind. p. 23 καταγέλα]στοι Reiskius Dobreeus adv. I p. 566

6 PLATO PHAEDR. p. 264 C τοῦ ἐπιγράμματος —, ὃ Μίδᾳ τῷ Φρυγί φασί τινες ἐπιγεγράφθαι

χαλκῆ παρθένος εἰμὶ Μίδα δ' ἐπὶ σήματι κεῖμαι.
ὄφρ' ἂν ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλῃ,
αὐτοῦ τῇδε μένουσα πολυκλαύτου ἐπὶ τύμβου,
ἀγγελέω παριοῦσι Μίδας ὅτι τῇδε τέθαπται. |

8 PLINIUS XXXIV, 55 Polyclitus Sicyonius — doryphorum viriliter puerum fecit, quem et ⟨*Müllerus*, et quem *codd.*⟩ canona artifices vocant, liniamenta artis ex eo petentes veluti a lege quadam, solusque hominum artem ipsam fecisse artis opere iudicatur. | 22 OR. DE HALONESO 45 εἴπερ ὑμεῖς τὸν ἐγκέφαλον ἐν τοῖς κροτάφοις καὶ μὴ

38 ποῦ παροριστέον ἕκαστον· τὸ γὰρ ἐνίοτε περαιτέρω προεκπίπτειν ἀναι-
ρεῖ τὴν ὑπερβολὴν καὶ τὰ τοιαῦτα ὑπερτεινόμενα χαλᾶται, ἔσθ'
ὅτε δὲ καὶ εἰς ὑπεναντιώσεις ἀντιπεριΐσταται. ὁ γοῦν Ἰσοκράτης οὐκ 2
οἶδ' ὅπως παιδὸς πρᾶγμα ἔπαθεν, διὰ τὴν τοῦ πάντα αὐξητικῶς
ἐθέλειν λέγειν φιλοτιμίαν. ἔστι μὲν γὰρ ὑπόθεσις αὐτῷ τοῦ πανη-
γυρικοῦ λόγου, ὡς ἡ Ἀθηναίων πόλις ταῖς εἰς τοὺς Ἕλληνας εὐεργε-
σίαις ὑπερβάλλει τὴν Λακεδαιμονίων, ὁ δ' εὐθὺς ἐν τῇ εἰσβολῇ
ταῦτα τίθησιν· 'ἐπειθ' οἱ λόγοι τοσαύτην ἔχουσι δύναμιν, ὥσθ' οἷόν
τ' εἶναι καὶ τὰ μεγάλα ταπεινὰ ποιῆσαι καὶ τοῖς μικροῖς περιθεῖναι
μέγεθος καὶ τὰ παλαιὰ καινῶς εἰπεῖν καὶ περὶ τῶν νεωστὶ γεγενη-
μένων ἀρχαίως διελθεῖν'. οὐκοῦν, φήσει τις, Ἰσόκρατες, οὕτως μέλ-
λεις καὶ τὰ περὶ Λακεδαιμονίων καὶ Ἀθηναίων ἐναλλάττειν; σχε-
δὸν γὰρ τὸ τῶν λόγων ἐγκώμιον ἀπιστίας τῆς καθ' αὑτοῦ τοῖς
ἀκούουσι παράγγελμα καὶ προοίμιον ἐξέθηκεν. μήποτ' οὖν ἄρισται 3
τῶν ὑπερβολῶν, ὡς καὶ ἐπὶ τῶν σχημάτων προείπομεν, αἱ αὐτὸ
τοῦτο διαλανθάνουσαι, ὅτι εἰσὶν ὑπερβολαί. γίνεται δὲ τὸ τοιόνδε,
ἐπειδὰν ὑπὸ ἐκπαθείας μεγέθει τινὶ συνεκφωνῶνται περιστάσεως,
ὅπερ ὁ Θουκυδίδης ἐπὶ τῶν ἐν Σικελίᾳ φθειρομένων ποιεῖ. 'οἵ τε
202v γὰρ Συρακούσιοι' φησίν 'ἐπικαταβάντες τοὺς | ἐν τῷ ποταμῷ μά-
λιστα ἔσφαζον, καὶ τὸ ὕδωρ εὐθὺς διέφθαρτο· ἀλλ' οὐδὲν ἧσσον
ἐπίνετο ὁμοῦ τῷ πηλῷ ἡματωμένον καὶ τοῖς πολλοῖς ἔτι ἦν περιμά-
χητον'. αἷμα καὶ πηλὸν πινόμενα ὅμως εἶναι περιμάχητα ἔτι ποιεῖ
πιστὸν ἡ τοῦ πάθους ὑπεροχὴ καὶ περίστασις. καὶ τὸ ἡροδότειον 4
ἐπὶ τῶν ἐν Θερμοπύλαις ὅμοιον. 'ἐν τούτῳ' φησίν 'ἀλεξομένους μα-
χαίρῃσιν, ὅσοις αὐτῶν ἔτι ἐτύγχανον περιοῦσαι, καὶ χερσὶ καὶ στό-

1 προοιστέον Seagerus class. journ. XIII, 46 p. 322 | ἐνίοτε del. Vaucherus, post ἀναιρεῖ aut ὑπερβολήν pos. Weiskius | 5 ἐθέλειν del. Morus | 7 Λακεδαιμονίων Robortellus: λακεδαιμονίαν P | 8 τοιαύτην ἔχουσι τὴν φύσιν codd. Isocratis | 9 εἶναι περὶ τῶν αὐτῶν πολλαχῶς ἐξηγήσασθαι καὶ τά τε codd. Isocratis | 10 μέγεθος περιθεῖναι codd. Isocratis | τά τε — διελθεῖν — εἰπεῖν codd. Isocratis | 11 φήσει Tollius Coraes ad Isocr. II p. 329: φησί P | 12 ἐναλάττειν P λ add. p | 14 προάγγελμα Faber | 17 καὶ μεγέθει Kayserus n. iahrb. LXX p. 295 | 18 οἵ τε Πελοποννήσιοι codd. Thucydidis | 21 τε ὁμοῦ — καὶ περιμάχητον ἦν τοῖς πολλοῖς codd. Thucydidis | 23 ἡροδότειο*ν P | 24 τούτῳ σφέας τῷ χώρῳ codd. Herodoti | 25 τοῖσι αὐτῶν ἐτύγχανον ἔτι περιεοῦσαι codd. Herodoti

ἐν ταῖς πτέρναις καταπεπατημένον φορεῖτε. LIBANIUS ARG. 2 καὶ μὴν καὶ τὸ ἐπὶ τῷ τέλει ῥηθὲν οὐ μικρὸν μαρτύριον τοῦ νόθον εἶναι τὸν λόγον 'εἴπερ — φορεῖτε'. ὁ μὲν γὰρ Δημοσθένης εἴωθε παρρησίᾳ χρῆσθαι, τοῦτο δὲ ὕβρις ἐστὶ καὶ λοιδορία μέτρον οὐκ ἔχουσα. | 8 ISOCRATES PANEG. 8 | 17 THUCYDIDES VII, 84 | 24 HERODOTUS VII, 225

μασι κατέχωσαν οἱ βάρβαροι'. ἐνταῦθ', οἷόν ἐστι τὸ καὶ στόμασι 38
μάχεσθαι πρὸς ὡπλισμένους, καὶ ὁποῖόν τι τὸ κατακεχῶσθαι βέλε-
σιν, ἐρεῖς. πλὴν ὅμως ἔχει πίστιν· οὐ γὰρ τὸ πρᾶγμα ἕνεκα τῆς
ὑπερβολῆς παραλαμβάνεσθαι δοκεῖ, ἡ ὑπερβολὴ δ' εὐλόγως γεννᾶ-
σθαι πρὸς τοῦ πράγματος. ἔστι γάρ, ὡς οὐ διαλείπω λέγων, παν-
τὸς τολμήματος λεκτικοῦ λύσις καὶ πανάκειά τις τὰ ἐγγὺς ἐκστά-
σεως ἔργα καὶ πάθη· ὅθεν καὶ τὰ κωμικὰ καίτοιγ' εἰς ἀπιστίαν
ἐκπίπτοντα πιθανὰ διὰ τὸ γελοῖον·

ἀγρὸν ἔσχ' ἐλάττω γῆν ἔχοντ' ἐπιστολῆς

καὶ γὰρ ὁ γέλως πάθος ἐν ἡδονῇ. αἱ δ' ὑπερβολαὶ καθάπερ ἐπὶ
τὸ μεῖζον, οὕτως καὶ ἐπὶ τοὔλαττον, ἐπειδὴ κοινὸν ἀμφοῖν ἡ ἐπίτα-
σις· καί πως ὁ διασυρμὸς ταπεινότητός ἐστιν αὔξησις.

39 Ἡ πέμπτη μοῖρα τῶν συντελουσῶν εἰς τὸ ὕψος, ὧν [γε] ἐν
ἀρχῇ προὐθέμεθα, ἔθ' ἡμῖν λείπεται, κράτιστε, ἡ διὰ τῶν λόγων
αὐτὴ ποιὰ σύνθεσις. ὑπὲρ ἧς ἐν δυσὶν ἀποχρώντως ἀποδεδωκότες
συντάγμασιν, ὅσα γε τῆς θεωρίας | ἦν ἡμῖν ἐφικτά, τοσοῦτον ἐξ 203 r.
ἀνάγκης προσθείημεν ἂν εἰς τὴν παροῦσαν ὑπόθεσιν, ὡς οὐ μόνον ἐστὶ
πειθοῦς καὶ ἡδονῆς ἡ ἁρμονία φυσικὸν ἀνθρώποις, ἀλλὰ καὶ μεγα-
2 ληγορίας καὶ πάθους θαυμαστόν τι ὄργανον. οὐ γὰρ αὐλὸς μὲν

1 κατέχωσαν codd. Herodoti: κατίσχυσαν P | βάρβαροι βάλλοντες codd. Herodoti | 2 ὡπλι*μένους P σ add. p | 3 ὅμως Schurzfleischius: ὁμοίς P | 4 εὐλόγως Robortellus: εὐλόγους P | 6 ἴασις Faber | πανάκτα P πανάκεια p | ἐκστάσεως Portus: ἐξετάσεως P | 9 ἔσχ' Portus: ἔσχα P | ἔχοντ' ἐπιστολῆς Valckenaerius ad Theocr. Adon. p. 256: ἔχον γὰρ στολῆς P | ἔχοντ' ἀφ' ἐπιστολῆς Schurzfleischius | λακωνικῆς add. Valckenaerius | ἀγρὸς ἔσχ' ἐλάττω γῆν ἐπιστολῆς λακωνικῆς Casaubonus ad Strab. p. 24 ἔσχε γὰρ ἐλάττω γῆν σκυτάλης λακωνικῆς Faber ἀγρὸν ἔσχ' ἐλάττω 'πιστολῆς λακωνικῆς Tollius Meinekius fr. com. V p. CCCXCII | 13 γε del. Spengelius | 14 κράτιστε* P ὦ κράτιστε Robortellus | καὶ κρατίστη νὴ Δία τῶν ὀνομάτων αὐτῶν ποιὰ Courierius ad Xenoph. hipp. p. 81 | ἡ — σύνθεσις del. Morus | διὰ del. Pearcius | 15 *ἧς P | σημ. περὶ συνθέσεως ἔγραψε Διονύσιος in marg. P | 16 γε διὰ τῆς Faber γε ἐκ τῆς Tollius | 18 ἀνθρώποις ἐνέργημα Manutius | μεγαληγορίας Tollius: μετ' ἐλευθερίας P | 19 αὐλὸς μόνον Manutius | ὁ μὲν γὰρ αὐλὸς Reiskius

9 STRABO I p. 36 εἰσί τινες ὑπερβολαὶ ἐπὶ ὑπερβολαῖς, ὡς τὸ — ἐλάττω δ' ἔχειν γῆν τὸν ἀγρὸν ἐπιστολῆς λακωνικῆς. | 18 QUINTILIANUS IX, 4, 9 ideo eruditissimo cuique persuasum est valere eam ⟨compositionem⟩ quam plurimum non ad delectationem modo, sed ad motum quoque animorum. primum, quia nihil intrare potest in affectum, quod in aure velut quodam vestibulo statim offendit, deinde, quod natura ducimur ad modos. neque enim aliter eveniret, ut illi ⟨*leg.* nudi⟩ quoque organorum soni, quamquam verba non exprimunt, in alios tamen atque alios motus ducerent auditorem.

39 ἐντίθησίν τινα πάθη τοῖς ἀκροωμένοις καὶ οἷον ἔκφρονας καὶ κορυβαντιασμοῦ πλήρεις ἀποτελεῖ, καὶ βάσιν ἐνδοὺς τινα ῥυθμοῦ πρὸς ταύτην ἀναγκάζει βαίνειν ἐν ῥυθμῷ καὶ συνεξομοιοῦσθαι τῷ μέλει τὸν ἀκροατήν, κἂν ἄμουσος ᾖ παντάπασι, καὶ νὴ Δία φθόγγοι κιθάρας, οὐδὲν ἁπλῶς σημαίνοντες, ταῖς τῶν ἤχων μεταβολαῖς καὶ τῇ πρὸς ἀλλήλους κρούσει καὶ μίξει τῆς συμφωνίας θαυμαστὸν ἐπάγουσι πολλάκις, ὡς ἐπίστασαι, θέλγητρον — καίτοι ταῦτα εἴ- 3
δωλα καὶ μιμήματα νόθα ἐστὶ πειθοῦς, οὐχὶ τῆς ἀνθρωπείας φύσεως, ὡς ἔφην, ἐνεργήματα γνήσια —, οὐκ οἴμεθα δ' ἄρα τὴν σύνθεσιν, ἁρμονίαν τινὰ οὖσαν λόγων ἀνθρώποις ἔμφυτον καὶ τῆς ψυχῆς αὐτῆς, οὐχὶ τῆς ἀκοῆς μόνης ἐφαπτομένην, ποικίλας κινοῦσαν ἰδέας ὀνομάτων νοήσεων πραγμάτων κάλλους εὐμελείας, πάντων ἡμῖν ἐντρόφων καὶ συγγενῶν, καὶ ἅμα τῇ μίξει καὶ πολυμορφίᾳ τῶν ἑαυτῆς φθόγγων τὸ παρεστὼς τῷ λέγοντι πάθος εἰς τὰς ψυχὰς τῶν πέλας παρεισάγουσαν καὶ εἰς μετουσίαν αὐτοῦ τοὺς ἀκούοντας ἀεὶ καθιστᾶσαν, τῇ τε τῶν λέξεων ἐποικοδομήσει τὰ μεγέθη συναρμόζουσαν, δι' αὐτῶν τούτων κηλεῖν τε ὁμοῦ καὶ πρὸς
203v. ὄγκον τε καὶ ἀξίωμα καὶ ὕψος καὶ πᾶν, ὃ ἐν αὐτῇ περιλαμβάνει, ἡμᾶς ἑκάσ|τοτε συνδιατιθέναι, παντοίως ἡμῶν τῆς διανοίας ἐπικρατοῦσαν; ἀλλ' εἴη ἂν μανία τὸ περὶ τῶν οὕτως ὁμολογουμένων διαπορεῖν· ἀποχρῶσα γὰρ ἡ πεῖρα πίστις. ὑψηλόν γέ που δοκεῖ 4
νόημα, καὶ ἔστι τῷ ὄντι θαυμάσιον, ὃ τῷ ψηφίσματι ὁ Δημοσθένης ἐπιφέρει· 'τοῦτο τὸ ψήφισμα τὸν τότε τῇ πόλει περιστάντα κίν-

1 ἐντίθησιν Faber: ἐπιτίθησιν P | ἀκοοομένοις P ἀκροωμένοις P | 2 ῥυθμοῦ del. Valckenaerius diatr. Eurip. p. 208 εὔρυθμον Ruhnkenius apud Valckenaerium | 3 ἀναγκάζει Manutius: ἀναγκάσει P | ἐν ῥυθμῷ del. Morus | 4 ἄμουσος ᾖ Boivinus: ἄλλους ὅση P | ἄλλως τε καὶ ἐπεὶ νὴ Δία οἱ φθόγγοι τῆς κιθάρας Faber | 5 σημαίνοντως P σημαίνον ταῖς P τες superscr. p | 6 κράσει v. d. apud Pearcium | 7 ὡς ἐπίστασαι Faber: ὡς ἐπίστασιν P ἐπ' ἔνστασιν Weiskius | ταῦτα Morus: ταῦτα τὰ P τὰ τοιαῦτα Manutius | 9 οἰώμεθα Reiskius | 10 λόγων post σύνθεσιν ponit Vaucherus | ἔμφυτον Bakius ad Apsin. rhet. p. 201: ἐμφύτοις P ἐμφύτως p ἐμφύτων Manutius | 11 ἐφαπτομένην Faber: ἐφαπτομένων P | 14 τῶν ἐν αὐτοῖς Petra | 17 καὶ δι' αὐτῶν Faber | κηλεῖν Robortellus: καλεῖν P | 18 περιλαμβάνειν Faber | 19 ἡμᾶς Faber: καὶ ἡμᾶς P | post ἐπικρατοῦσαν plene distinxit Bakius | 20 εἴη ἂν μανία Spengelius: εἰ καὶ μανία P ἐστὶ καὶ μανία Pearcius εἴη γε μανία Morus εἴη καὶ μανία vel μανίας Toupius ἔοικε μανίᾳ Manutius | 21 που δοκεῖ Reiskius: τοῦ δοκεῖν P τῷ δοκεῖν Toupius τοι δοκεῖ Finckhius ztschr. f. alterth. wiss. 1838 p. 197 | 23 τότε codd. Demosthenis: τότ' ἂν P

4 EURIPIDES STHENEBOEA (666) ποιητὴν δ' ἄρα
"Ερως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν.
23 DEMOSTHENES DE COR. 188

δυνον παρελθεῖν ἐποίησεν ὥσπερ νέφος'· ἀλλ' αὐτῆς τῆς διανοίας 39
οὐκ ἔλαττον τῇ ἁρμονίᾳ πεφώνηται. ὅλον τε γὰρ ἐπὶ τῶν δακτυλικῶν εἴρηται ῥυθμῶν· εὐγενέστατοι δ' οὗτοι καὶ μεγεθοποιοί — διὸ καὶ τὸ ἡρῷον ὧν ἴσμεν κάλλιστον μέτρον συνιστᾶσι —, τό τε *. ἐπείτοιγε ἐκ τῆς ἰδίας αὐτὸ χώρας μετάθες ὅποι δὴ ἐθέλεις 'τοῦτο τὸ ψήφισμα, ὥσπερ νέφος, ἐποίησε τὸν τότε κίνδυνον παρελθεῖν', ἢ νὴ Δία μίαν ἀπόκοψον συλλαβὴν μόνον 'ἐποίησε παρελθεῖν ὡς νέφος', καὶ εἴσῃ, πόσον ἡ ἁρμονία τῷ ὕψει συνηχεῖ. αὐτὸ γὰρ τὸ 'ὥσπερ νέφος' ἐπὶ μακροῦ τοῦ πρώτου ῥυθμοῦ βέβηκε, τέτρασι καταμετρουμένου χρόνοις· ἐξαιρεθείσης δὲ τῆς μιᾶς συλλαβῆς 'ὡς νέφος' εὐθὺς ἀκρωτηριάζει ἡ συγκοπὴ τὸ μέγεθος. ὡς ἔμπαλιν, ἐὰν ἐπεκτείνῃς 'παρελθεῖν ἐποίησεν, ὡσπερεὶ νέφος', τὸ αὐτὸ σημαίνει, οὐ τὸ αὐτὸ δὲ ἔτι προσπίπτει· ὅτι τῷ μήκει τῶν ἄκρων χρόνων συνεκλύεται καὶ διαχαλᾶται τὸ ὕψος τὸ ἀπότομον.

40 Ἐν δὲ τοῖς μάλιστα μεγεθοποιεῖ τὰ λεγόμενα, καθάπερ τὰ σώματα ἡ τῶν μελῶν ἐπισύνθεσις, ὧν ἓν μὲν οὐδὲν τμηθὲν ἀφ' ἑτέρου καθ' ἑαυτὸ ἀξιόλογον ἔχει, πάντα δὲ μετ' ἀλλήλων ἐκπληροῖ τέλειον σύστημα, οὕτως τὰ μεγά|λα, σκεδασθέντα μὲν ἀπ' ἀλλή- 204 r.
λων ἄλλο ἄλλοσ', ἅμα ἑαυτοῖς συνδιαφορεῖ καὶ τὸ ὕψος, σωματοποιούμενα δὲ τῇ κοινωνίᾳ καὶ ἔτι δεσμῷ τῆς ἁρμονίας περικλειόμενα αὐτῷ τῷ κύκλῳ φωνήεντα γίνεται· καὶ σχεδὸν ἐν ταῖς περιόδοις
2 ἐρανός ἐστι πλήθους τὰ μεγέθη. ἀλλὰ μὴν ὅτι γε πολλοὶ καὶ συγγραφέων καὶ ποιητῶν οὐκ ὄντες ὑψηλοὶ φύσει, μήποτε δὲ καὶ ἀμεγέθεις, ὅμως κοινοῖς καὶ δημώδεσι τοῖς ὀνόμασι καὶ οὐδὲν ἐπαγομένοις περιττὸν ὡς τὰ πολλὰ συγχρώμενοι διὰ μόνου τοῦ συνθεῖναι καὶ ἁρμόσαι ταῦτα [δ' ὅμως] ὄγκον καὶ διάστημα καὶ τὸ μὴ ταπεινοὶ δοκεῖν εἶναι περιεβάλοντο, καθάπερ ἄλλοι τε πολλοὶ καὶ Φί-

1 ἀλλὰ τὸ τῆς Morus | 2 ἐκπεφώνηται Reiskius | 4 τότε** ἐπείτοιγε Pearcius ὥσπερ νέφος add. Pearcius τό τε om. Manutius | τὸ 'τότε ἐν τῇ πόλει' ἄγε Schurzfleischius | 5 αὖ τι Faber | ἐθέλοις Faber | 10 καταμετρουμένου Tollius: καταμετρούμενον P | 11 ἀκρωτηριάσεις aut ἀκρωτηριάζεται Tollius | ἡ συγκοπὴ Reiskius: τῇ συγκοπὴ P τῇ συγκοπῇ Robortellus del. Weiskius | 12 ὡσπερεὶ Tollius: ὥσπερ P ὥσπερ τι Faber | 12 αὐτὸ μὲν σημαίνει Tollius | τὸ* P | 14 τοῦ ὕψους Tollius τὸ ὕψους ἀπότομον Faber | 16 ἐπισύνδεσις Vaucherus | οὐδενὶ Robortellus οὐδέν τι Schurzfleischius | τμηθὲν ἀφ' ἑτέρου del. Vaucherus | 17 τι ἀξιόλογον Manutius | 18 μ*λα P μάλα in marg. τὰ μεγάλα P μέλη Pearcius del. Tollius | 19 ἄλλο ἄλλοσ' Spengelius: ἀλλοσ' P ἄλλῃ superscr. p ἄλλο ἄλλῃ Manutius | κόμψως Reiskius | 20 ἔτι τῷ Manutius | 22 γε Tollius: τε P | 26 δ' del. Spengelius | ὅμως del. Faber | ταπεινὰ Tollius | 27 Φίλισκος Dacerius

40 λιστος, Ἀριστοφάνης ἔν τισιν, ἐν τοῖς πλείστοις Εὐριπίδης, ἱκανῶς
ἡμῖν δεδήλωται. μετά γέ τοι τὴν τεκνοκτονίαν Ἡρακλῆς φησι

γέμω κακῶν δὴ κοὐκέτ' ἔσθ' ὅποι τεθῆ.

σφόδρα δημῶδες τὸ λεγόμενον, ἀλλὰ γέγονεν ὑψηλὸν τῇ πλάσει
ἀναλογοῦν· εἰ δ' ἄλλως αὐτὸ συναρμόσεις, φανήσεταί σοι, διότι τῆς
συνθέσεως ποιητὴς ὁ Εὐριπίδης μᾶλλόν ἐστιν ἢ τοῦ νοῦ. ἐπὶ δὲ τῆς 4
συρομένης ὑπὸ τοῦ ταύρου Δίρκης

εἰ δέ που τύχοι
πέριξ ἑλίξας, εἷλκε** ὁμοῦ λαβὼν
γυναῖκα πέτραν δρῦν μεταλλάσσων ἀεί

ἔστι μὲν γενναῖον καὶ τὸ λῆμμα, ἁδρότερον δὲ γέγονε τῷ τὴν ἁρ-
μονίαν μὴ κατεσπεῦσθαι, μηδ' οἷον ἐν ἀποκυλίσματι φέρεσθαι, ἀλλὰ
στηριγμούς τε ἔχειν πρὸς ἄλληλα τὰ ὀνόματα καὶ ἐξερείσματα τῶν
204v. χρόνων πρὸς ἑδραῖον διαβεβηκό|τα μέγεθος.

Μικροποιοῦν δ' οὐδὲν οὕτως ἐν τοῖς ὑψηλοῖς, ὡς ῥυθμὸς κεκλα-
σμένος λόγου καὶ σεσοβημένος, οἷον δὴ πυρρίχιοι καὶ τροχαῖοι καὶ 41
διχόρειοι, τέλεον εἰς ὀρχηστικὸν συνεκπίπτοντες. εὐθὺς γὰρ πάντα
φαίνεται τὰ κατάρυθμα κομψὰ καὶ μικροχαρῆ καὶ ἀπαθέστατα
διὰ τῆς ὁμοειδείας ἐπιπολάζοντα· καὶ ἔτι τούτων τὸ χείριστον ὅτι, 2
ὥσπερ τὰ ᾠδάρια τοὺς ἀκροατὰς ἀπὸ τοῦ πράγματος ἀφέλκει καὶ
ἐφ' αὑτὰ βιάζεται, οὕτως καὶ τὰ κατερρυθμισμένα τῶν λεγομένων
οὐ τὸ τοῦ λόγου πάθος ἐνδίδωσι τοῖς ἀκούουσι, τὸ δὲ τοῦ ῥυθμοῦ,
ὡς ἐνίοτε προειδότας τὰς ὀφειλομένας καταλήξεις αὐτοὺς ὑποκρούειν
τοῖς λέγουσι καὶ φθάνοντας ὡς ἐν χορῷ τινι προαποδιδόναι τὴν βά-
σιν. ὁμοίως δὲ ἀμεγέθη καὶ τὰ λίαν συγκείμενα καὶ εἰς μικρὰ καὶ
βραχυσύλλαβα συγκεκομμένα καὶ ὡσανεὶ γόμφοις τισὶν ἐπαλλήλοις 3
κατ' ἐγκοπὰς καὶ σκληρότητας ἐπισυνδεδεμένα.

1 Ἀριστοφάνης ἔν τισίν τε ἐν δὲ Faber | 3 καὶ οὐκέτ' P | 5 ἀνάλογον Morus ἀναλόγῳ Ruhnkenius τῇ ἀνάλογον πλάσει Kayserus n. iahrb. LXX p. 295 | συναρμόσ**ς P συναρμόσεις P | ὅτι διὰ τῆς Pearcius | 6 ἐπὶ Manutius: ἐπεὶ P | 8 που τύχοι — εἷλχ' Tollius | εἷλκε πάνθ' Bergkius | 9 ἑλίξας ταῦρος εἷλχ' Valckenaerius diatr. p. 66 | 10 γυναικὶ Vngerus parad. theb. p. 83 | 11 λῆμμα Robortellus: λῆμα P | 12 ἐν Toupius: μὲν P | 15 μ*κροποιοῦν P μικροποιοῦν P μικροποιεῖ Kayserus n. iahrb. LXX p 295 | 16 λόγου Faber: λόγω P ὅλως Ruhnkenius λόγων Pearcius τόνῳ Reiskius λόγῳ del. Vaucherus | 17 διχόρει*** P διχόρειοι P | ὀρ*ηστι*κὸν P ὀρχηστικὸν P | 19 ὁμοειδ*ίας P | ὅτι Manutius: ὅπωσ P | 21 ἐφ' αὑτὰ Petra: ἐπ' αὐτὰ P | 22 ῥυ*μοῦ P θ add. p | 24 χο*ρῷ P | 25 συνηγμένα Kayserus n. iahrb. LXX p 295 | 27 σκληρότητος P σκληρότητας p

3 EURIPIDES HERC. FUR. 1245 | 8 EURIPIDES ANTIOPA

Ἔτι γε μὴν ὕψους μειωτικὸν καὶ ἡ ἄγαν τῆς φράσεως συγκοπή· πηροῖ γὰρ τὸ μέγεθος, ὅταν εἰς λίαν συνάγηται βραχύ· ἀκουέσθω δὲ νῦν οὐ τὰ δεόντως συνεστραμμένα, ἀλλ' ὅσα ἄντικρυς μικρὰ καὶ κατακεκερματισμένα· συγκοπὴ μὲν γὰρ κολούει τὸν νοῦν, συντομία δ' ἐπευθύνει. δῆλον δ' ὡς ἔμπαλιν τὰ ἐκτάδην ἀποψύχεται παρ' ἄκαιρον μῆκος ἀναχαλώμενα. 42

43 Δεινὴ δ' αἰσχῦναι τὰ μεγέθη καὶ ἡ μικρότης τῶν ὀνομάτων. παρὰ γοῦν τῷ Ἡροδότῳ κατὰ μὲν τὰ λήμματα δαι|μονίως ὁ χει- 205 r.
μὼν πέφρασται, τινὰ δὲ νὴ Δία περιέχει τῆς ὕλης ἀδοξότερα· καὶ τοῦτο μὲν ἴσως 'ζεσάσης δὲ τῆς θαλάσσης', ὡς τὸ ζεσάσης πολὺ τὸ ὕψος περισπᾷ διὰ τὸ κακόστομον· ἄλλο 'ἄνεμος' φησίν 'ἐκόπασε'· καὶ τοὺς περὶ τὸ ναυάγιον δρασσομένους ἐξεδέχετο 'τέλος ἄχαρι'. ἄσεμνον γὰρ τὸ κοπάσαι ἰδιωτικόν, τὸ δ' ἄχαρί ἐστι τηλι-
2 κούτου πάθους ἀνοίκειον. ὁμοίως καὶ ὁ Θεόπομπος ὑπερφυῶς σκευάσας τὴν τοῦ Πέρσου κατάβασιν ἐπ' Αἴγυπτον ὀνοματίοις τισὶ τὰ ὅλα διέβαλεν. 'ποία γὰρ πόλις ἢ ποῖον ἔθνος τῶν κατὰ τὴν Ἀσίαν οὐκ ἐπρεσβεύετο πρὸς βασιλέα; τί δὲ τῶν ἐκ τῆς γῆς γεννωμένων ἢ τῶν κατὰ τέχνην ἐπιτελουμένων καλῶν ἢ τιμίων οὐκ ἐκομίσθη δῶρον ὡς αὐτόν; οὐ πολλαὶ μὲν καὶ πολυτελεῖς στρωμναὶ καὶ χλανίδες — τὰ μὲν ἀλουργῆ, τὰ δὲ ποικιλτά, τὰ δὲ λευκά — πολλαὶ δὲ

2 πηροῖ Manutius: πληροῖ P | 3 οὐ τὰ Spengelius: μὴ τὰ οὐ P μὴ τὰ Manutius | 4 κολούει Faber: κωλούει P κωλύει Robortellus | 5 ἐπευθύνει Petra: ἐπ' εὐθὺ P *ἐπ' εὐθὺ Manutius ἄγει add. H. Stephanus | ἀποψύχεται Valckenaerius apud Ruhnkenium: ἀπόψυχα τὰ P ἀπόψυχα ἅτε Toupius | 6 παρ' Pearcius: γὰρ P εἰς Ruhnkenius | ἀναχαλώμενα Faber: ἀνακαλούμενα P ἀναλώμενα Reiskius | ἄψυχα γὰρ διὰ μῆκος ἄπειρον ἀναχαλώμενα Faber ἀπίψυχα γὰρ τὰ ἄκαιρον μῆκος ἀνακαλινδούμενα Spengelius | τὰ — ἀνακαλούμενα del. Vaucherus | 7 αἰσχύν*αι P | 8 λήματα Nolteius ztschr. f. alterth. wiss. 1854 p. 448 | 9 νὴ Δία Manutius: γήδια P | καὶ τοῦτο — ἄλλο del. Morus | 11 ἐκόπασε codd. Herodoti: ἐκόπιασε P | 12 βρασσομένους Manutius ἐκβρασσομένους Toupius .ἀρασσομένους Valckenaerius anim. ad Ammon. p. 259 sq. | τοὺς — ἐξεδέχετο del. Valckenaerius ad Herodot. VIII, 113 | 13 ἄχαρί ἐστι scripsi: ἀχαριστὶ P ἀχάριστον Robortellus | 14 κατασκευάσας Tollius | 17 γεννομένων P γενναμένων P | 18 τιμίων Manutius: τιμῶν P | ἐκομί*θη P σ add. p | 19 στρομναὶ P στρωμναὶ P | 20 ἀλουργεῖς vel τὰ δὲ ποικιλταὶ τὰ δὲ λευκαὶ Manutius

**10 HERODOTUS VII, 188** ἅμα δὲ ὄρθρῳ, ἐξ αἰθρίης τε καὶ νηνεμίης τῆς θαλάσσης ζεσάσης, ἐπέπεσέ σφι χειμών τε μέγας καὶ πολλὸς ἄνεμος ἀπηλιώτης. — — αἱ δὲ ⟨νέες⟩ ἐς Μελίβοιαν πόλιν, αἱ δὲ ἐς Κασθαναίην ἐξεβράσσοντο. — — 191 καταείδοντες γοῆσι τῷ ἀνέμῳ οἱ μάγοι — ἔπαυσαν τετάρτῃ ἡμέρῃ, ἢ ἄλλως κως αὐτὸς ἐθέλων ἐκόπασε. | **12 HERODOTUS VIII, 13** καὶ τὸ τέλος σφι ἐγένετο ἄχαρι· ὡς γὰρ δὴ πλώουσι αὐτοῖσι χειμών τε καὶ τὸ ὕδωρ ἐπεγίνετο, — — ἐξέπιπτον πρὸς τὰς πέτρας.

43 σκηναὶ χρυσαῖ κατεσκευασμέναι πᾶσι τοῖς χρησίμοις, πολλαὶ δὲ καὶ ξυστίδες καὶ κλῖναι πολυτελεῖς; ἔτι δὲ καὶ κοῖλος ἄργυρος καὶ χρυσὸς ἀπειργασμένος καὶ ἐκπώματα καὶ κρατῆρες, ὧν τοὺς μὲν λιθοκολλήτους, τοὺς δ' ἄλλως ἀκριβῶς καὶ πολυτελῶς εἶδες ἂν ἐκπεπονημένους. πρὸς δὲ τούτοις ἀναρίθμητοι μὲν ὅπλων μυριάδες τῶν μὲν ἑλληνικῶν, τῶν δὲ βαρβαρικῶν, ὑπερβάλλοντα δὲ τὸ πλῆθος ὑποζύγια καὶ πρὸς κατακοπὴν ἱερεῖα σιτευτά, καὶ πολλοὶ μὲν ἀρτυμάτων μέδιμνοι, πολλοὶ δὲ θύλακοι καὶ σάκκοι καὶ χάρται
205 r. βυβλίων καὶ τῶν ἄλλων ἁπάντων χρησίμων· | τοσαῦτα δὲ κρέα τεταριχευμένα παντοδαπῶν ἱερείων, ὡς σωροὺς αὐτῶν γενέσθαι τηλικούτους, ὥστε τοὺς προσιόντας πόρρωθεν ὑπολαμβάνειν ὄχθους εἶναι καὶ λόφους ἀντωθουμένους'. ἐκ τῶν ὑψηλοτέρων εἰς τὰ ταπεινότερα ἀποδιδράσκει, δέον ποιήσασθαι τὴν αὔξησιν ἔμπαλιν· ἀλλὰ τῇ θαυ- 3
μαστῇ τῆς ὅλης παρασκευῆς ἀγγελίᾳ παραμίξας τοὺς θυλάκους καὶ τὰ ἀρτύματα καὶ τὰ σακκία μαγειρείου τινὰ φαντασίαν ἐποίησεν. ὥσπερ γὰρ εἴ τις ἐπ' αὐτῶν ἐκείνων τῶν προκοσμημάτων μεταξὺ τῶν χουσίων καὶ λιθοκολλήτων κρατήρων καὶ ἀργύρου κοίλου σκηνῶν τε ὁλοχρύσων καὶ ἐκπωμάτων φέρων μέσα ἔθηκε θυλάκια καὶ σακκία, ἀπρεπὲς ἂν ἦν τῇ προσόψει τὸ ἔργον· οὕτω καὶ τῆς ἑρμηνείας τὰ τοιαῦτα ὀνόματα αἴσχη καὶ οἱονεὶ στίγματα καθίσταται παρὰ καιρὸν ἐγκαταταττόμενα. παρέκειτο δ' ὡς ὁλοσχερῶς 4
ἐπελθεῖν καὶ ὧς ὄχθους λέγει συμβεβλῆσθαι καὶ περὶ τῆς ἄλλης παρασκευῆς, οὕτως ἁμάξας εἰπεῖν καὶ καμήλους καὶ πλῆθος ὑπο-

1 χρυσαῖ post ξυστίδες ponit Nolteius ztschr. f. alterth. wiss. 1854 p. 448 | κατασκευασμέναι P | 4 λι**κολλίτους P λιθοκολλήτους P | ἄλλως scripsi: ἄλλους P | 5 ὄψων Dobreeus adv. I p. 566 | 7 σιτευτὰ Canterus nov. lectt. II, 25: εἰς ταῦτα P εἰς ταὐτά Spengelius | 8 δὲ codd. Athenaei: δ' οἱ P δ' αὖ Morus | θύλακες Ruhnkenius | σάκοι P σάκκοι χαρτῶν καὶ Pearcius | καὶ χόρτου καὶ Reiskius | χύτραι βολβῶν Toupius | 9 τοσαῦτα Robortellus: τοιαῦτα P | 12 ἀνωθουμένους Manutius ἀνορθουμένους Faber συνωθουμένους Toupius | 13 ἅμα Pearcius ἀλλὰ καὶ Toupius | 14 ἀπαγγελίᾳ Toupius | 15 μαγειρίου P μαγειρείου p | 16 τῶν λαμπρῶν κοσμημάτων Kayserus n. iahrb. LXX p. 295 | 17 χρυσῶν aut μεταξὺ τῶν λιθοκολλήτων κρατήρων καὶ χρυσοῦ καὶ ἀργυροῦ Spengelius | 20 ἑ******ας P ἑρμηνείας P | 22 ὡς Spengelius: οὓς P | κρεῶν ὄχθους Spengelius | 23 ἁμάξας Toupius Reiskius: ἀλλάξας P | καὶ καμήλους Toupius: καμήλους P

7 **ATHENAEUS II p. 67 F** καὶ Θεόπομπος δέ φησι 'πολλοὶ μὲν ἀρτυμάτων, πολλοὶ δὲ σάκκοι καὶ θύλακοι βιβλίων καὶ τῶν ἄλλων ἁπάντων τῶν χρησίμων πρὸς τὸν βίον'. **IV p. 145 A** Θεόπομπος ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῶν φιλιππικῶν 'ὅταν' φησὶ 'ὁ βασιλεὺς εἴς τινας ἀφίκηται τῶν ἀρχομένων —, ἑκάσταις τῶν πόλεων κατὰ τὸ μέγεθος ὥσπερ ὁ φόρος καὶ τὸ δεῖπνον ἐκ παλαιοῦ τεταγμένον ἐστίν'.

ζυγίων, φορταγωγούντων πάντα τὰ πρὸς τρυφὴν καὶ ἀπόλαυσιν τρα- 43
πεζῶν χορηγήματα, ἢ σωροὺς ὀνομάσαι παντοίων σπερμάτων καὶ
τῶν ἅπερ διαφέρει πρὸς ὀψοποιΐας καὶ ἡδυπαθείας ἢ εἴπερ πάντως
ἐβούλετο αὐτάρκη οὕτως θεῖναι, καὶ ὅσα τραπεζοκόμων εἰπεῖν καὶ
ὀψοποιῶν ἡδύσματα. οὐ γὰρ δεῖ καταντᾶν ἐν ταῖς ὕψεσιν εἰς ῥυ-
5 παρὰ καὶ ἐξυβρισμένα, | ἂν μὴ σφόδρα ὑπό τινος ἀνάγκης συνδιω- 206 r.
κώμεθα, ἀλλὰ τῶν πραγμάτων πρέποι ἂν καὶ τὰς φωνὰς ἔχειν
ἀξίας καὶ μιμεῖσθαι τὴν δημιουργήσασαν φύσιν τὸν ἄνθρωπον, ἥτις
ἐν ἡμῖν τὰ μέρη τὰ ἀπόρρητα οὐκ ἔθηκεν ἐν προσώπῳ οὐδὲ τὰ τοῦ
παντὸς ὄγκου περιηθήματα, ἀπεκρύψατο δὲ ὡς ἐνῆν καὶ κατὰ τὸν
Ξενοφῶντα τοὺς τούτων ὅτι πορρωτάτω ὀχετοὺς ἀπέστρεψεν, οὐδαμῇ
καταισχύνασα τὸ τοῦ ὅλου ζῴου κάλλος.
6 Ἀλλὰ γὰρ οὐκ ἐπ' εἴδους ἐπείγει τὰ μικροποιὰ διαριθμεῖν·
προϋποδεδειγμένων γὰρ τῶν ὅσα εὐγενεῖς καὶ ὑψηλοὺς ἐργάζεται τοὺς
λόγους, δῆλον ὡς τὰ ἐναντία τούτων ταπεινοὺς ποιήσει κατὰ τὸ πλεῖ-
στον καὶ ἀσχήμονας.

44 Ἐκεῖνο μέντοι λοιπὸν ἕνεκα τῆς σῆς χρηστομαθείας οὐκ ὀκνή-
σομεν ἔτι προσθεῖναι διασαφῆσαι, Τερεντιανὲ φίλτατε, ὅπερ ἐζήτησέ
τις τῶν φιλοσόφων πρὸς ἐμὲ ἔναγχος, 'θαῦμά μ' ἔχει', λέγων 'ὡς
ἀμέλει καὶ ἑτέρους πολλούς, πῶς ποτε κατὰ τὸν ἡμέτερον αἰῶνα
πιθαναὶ μὲν ἐπ' ἄκρον καὶ πολιτικαί, δριμεῖαί τε καὶ ἐντρεχεῖς, καὶ
μάλιστα πρὸς ἡδονὰς λόγων εὔφοροι, ὑψηλαὶ δὲ λίαν καὶ ὑπερμε-
γέθεις, πλὴν εἰ μή τι σπάνιον, οὐκέτι γίνονται φύσεις. τοσαύτη
2 λόγων κοσμική τις ἐπέχει τὸν βίον ἀφορία. ἦ νὴ Δί' ἔφη 'πιστευ-
τέον ἐκείνῳ τῷ θρυλουμένῳ, ὡς ἡ δημοκρατία τῶν μεγάλων ἀγαθὴ

2 ταριχευμάτων Tollius | 3 ὀψοποιΐας καὶ del. Schurzfleischius | μᾶλλον ἢ πάντα ὡς Manutius | μὴ εἴπερ Weiskius f. | πάντως Spengelius: πάντα ὡς P πάντα ὅσα Toupius παντοίως Spengelius | εἴπερ πάντως ἐβούλετο αὐτὰ ἑξῆς οὕτως Reiskius | 5 εἰς ῥυπαρὰ Manutius: ****** παρὰ P *παρὰ Robortellus | 8 ἀξίαν P ἀξίας p | διμηουργησασαν P δημιουργήσασαν P | 9 ἐμ P ἐν P | 10 περιηθήματα Pearcius: περιήθματα P περιττώματα Manutius περιψήματα Reiskius | 11 τούτων codd. Xenophontis: τῶν P | 12 καται*χύνασα P σ add. p | 13 οὐδὲν Nolteius ztschr. f. alterth. wiss. 1854 p. 448 | ἐπ' εἴδους Tollius: ἐπιδοὺς P | δεῖ Pearcius ἐπέοικε Reiskius | οὐκ ἐπαναγκές ἐστι Faber | 17 ὀκνήσο*μεν P | 18 ἔτι προσθεῖναι Nolteius ztschr. f. alterth. wiss. 1854 p. 464: ἐπιπροσθῆναι P | διασαφῆσαι del. Spengelius καὶ διασαφῆσαι Robortellus | 19 πρὸς ἐμὲ ἔναγχος Cobetus nov. lectt. p. 645: προσέναγχος P προύναγχος Valckenaerius ad Eurip. Phoen. 204 | 22 λογικῶν Hemsterhusius ad Luciani dial. sel. p. 71 λογίων Vaucherus | δὲ Manutius: τε P | 24 ἦ Morus

10 XENOPHON MEM. I, 4, 6 ἐπεὶ δὲ τὰ ἀποχωροῦντα δυσχερῆ, ἀποστρέψαι τοὺς τούτων ὀχετοὺς ᾗ δυνατὸν προσωτάτω τῶν αἰσθήσεων.

38 ποῦ παροριστέον ἕκαστον· τὸ γὰρ ἐνίοτε περαιτέρω προεκπίπτειν ἀναι-
ρεῖ τὴν ὑπερβολὴν καὶ τὰ τοιαῦτα ὑπερτεινόμενα χαλᾶται, ἔσθ'
ὅτε δὲ καὶ εἰς ὑπεναντιώσεις ἀντιπεριΐσταται. ὁ γοῦν Ἰσοκράτης οὐκ 2
οἶδ' ὅπως παιδὸς πρᾶγμα ἔπαθεν, διὰ τὴν τοῦ πάντα αὐξητικῶς
ἐθέλειν λέγειν φιλοτιμίαν. ἔστι μὲν γὰρ ὑπόθεσις αὐτῷ τοῦ πανη-
γυρικοῦ λόγου, ὡς ἡ Ἀθηναίων πόλις ταῖς εἰς τοὺς Ἕλληνας εὐεργε-
σίαις ὑπερβάλλει τὴν Λακεδαιμονίων, ὁ δ' εὐθὺς ἐν τῇ εἰσβολῇ
ταῦτα τίθησιν· 'ἔπειθ' οἱ λόγοι τοσαύτην ἔχουσι δύναμιν, ὥσθ' οἷόν
τ' εἶναι καὶ τὰ μεγάλα ταπεινὰ ποιῆσαι καὶ τοῖς μικροῖς περιθεῖναι
μέγεθος καὶ τὰ παλαιὰ καινῶς εἰπεῖν καὶ περὶ τῶν νεωστὶ γεγενη-
μένων ἀρχαίως διελθεῖν'. οὐκοῦν, φήσει τις, Ἰσόκρατες, οὕτως μέλ-
λεις καὶ τὰ περὶ Λακεδαιμονίων καὶ Ἀθηναίων ἐναλλάττειν; σχε-
δὸν γὰρ τὸ τῶν λόγων ἐγκώμιον ἀπιστίας τῆς καθ' αὑτοῦ τοῖς
ἀκούουσι παράγγελμα καὶ προοίμιον ἐξέθηκεν. μήποτ' οὖν ἄρισται 3
τῶν ὑπερβολῶν, ὡς καὶ ἐπὶ τῶν σχημάτων προείπομεν, αἱ αὐτὸ
τοῦτο διαλανθάνουσαι, ὅτι εἰσὶν ὑπερβολαί. γίνεται δὲ τὸ τοιόνδε,
ἐπειδὰν ὑπὸ ἐκπαθείας μεγέθει τινὶ συνεκφωνῶνται περιστάσεως,
ὅπερ ὁ Θουκυδίδης ἐπὶ τῶν ἐν Σικελίᾳ φθειρομένων ποιεῖ. 'οἵ τε
202v. γὰρ Συρακούσιοι' φησίν 'ἐπικαταβάντες τοὺς | ἐν τῷ ποταμῷ μά-
λιστα ἔσφαζον, καὶ τὸ ὕδωρ εὐθὺς διέφθαρτο· ἀλλ' οὐδὲν ἧσσον
ἐπίνετο ὁμοῦ τῷ πηλῷ ᾑματωμένον καὶ τοῖς πολλοῖς ἔτι ἦν περιμά-
χητον'. αἷμα καὶ πηλὸν πινόμενα ὅμως εἶναι περιμάχητα ἔτι ποιεῖ
πιστὸν ἡ τοῦ πάθους ὑπεροχὴ καὶ περίστασις. καὶ τὸ ἡροδότειον 4
ἐπὶ τῶν ἐν Θερμοπύλαις ὅμοιον. 'ἐν τούτῳ' φησίν 'ἀλεξομένους μα-
χαίρῃσιν, ὅσοις αὐτῶν ἔτι ἐτύγχανον περιοῦσαι, καὶ χερσὶ καὶ στό-

1 προοιστέον Seagerus class. journ. XIII, 46 p. 322 | ἐνίοτε del. Vaucherus, post ἀναιρεῖ aut ὑπερβολήν pos. Weiskius | 5 ἐθέλειν del. Morus | 7 Λακεδαιμονίων Robortellus: λακεδαιμονίαν P | 8 τοιαύτην ἔχουσι τὴν φύσιν codd. Isocratis | 9 εἶναι περὶ τῶν αὐτῶν πολλαχῶς ἐξηγήσασθαι καὶ τά τε codd. Isocratis | 10 μέγεθος περιθεῖναι codd. Isocratis | τά τε — διελθεῖν — εἰπεῖν codd. Isocratis | 11 φήσει Tollius Coraes ad Isocr. II p. 329: φησί P | 12 ἐναλάττειν P λ add. p | 14 προάγγελμα Faber | 17 καὶ μεγέθει Kayserus n. iahrb. LXX p. 295 | 18 οἵ τε Πελοποννήσιοι codd. Thucydidis | 21 τε ὁμοῦ — καὶ περιμάχητον ἦν τοῖς πολλοῖς codd. Thucydidis | 23 ἡροδότειο*ν P | 24 τούτῳ σφέας τῷ χώρῳ codd. Herodoti | 25 τοῖσι αὐτῶν ἐτύγχανον ἔτι περιεοῦσαι codd. Herodoti

ἐν ταῖς πτέρναις καταπεπατημένον φορεῖτε. LIBANIUS ARG. 2 καὶ μὴν καὶ τὸ ἐπὶ τῷ τέλει ῥηθὲν οὐ μικρὸν μαρτύριον τοῦ νόθον εἶναι τὸν λόγον 'εἴπερ — φορεῖτε'. ὁ μὲν γὰρ Δημοσθένης εἴωθε παρρησίᾳ χρῆσθαι, τοῦτο δὲ ὕβρις ἐστὶ καὶ λοιδορία μέτρον οὐκ ἔχουσα. | 8 ISOCRATES PANEG. 8 | 17 THUCYDIDES VII, 84 | 24 HERODOTUS VII, 225

μασι κατέχωσαν οἱ βάρβαροι'. ἐνταῦθ', οἷόν ἐστι τὸ καὶ στόμασι 38
μάχεσθαι πρὸς ὡπλισμένους, καὶ ὁποῖόν τι τὸ κατακεχῶσθαι βέλεσιν, ἐρεῖς. πλὴν ὅμως ἔχει πίστιν· οὐ γὰρ τὸ πρᾶγμα ἕνεκα τῆς ὑπερβολῆς παραλαμβάνεσθαι δοκεῖ, ἡ ὑπερβολὴ δ' εὐλόγως γεννᾶσθαι πρὸς τοῦ πράγματος. ἔστι γάρ, ὡς οὐ διαλείπω λέγων, παντὸς τολμήματος λεκτικοῦ λύσις καὶ πανάκειά τις τὰ ἐγγὺς ἐκστάσεως ἔργα καὶ πάθη· ὅθεν καὶ τὰ κωμικὰ καίτοιγ' εἰς ἀπιστίαν ἐκπίπτοντα πιθανὰ διὰ τὸ γελοῖον·

ἀγρὸν ἔσχ' ἐλάττω γῆν ἔχοντ' ἐπιστολῆς

καὶ γὰρ ὁ γέλως πάθος ἐν ἡδονῇ. αἱ δ' ὑπερβολαὶ καθάπερ ἐπὶ τὸ μεῖζον, οὕτως καὶ ἐπὶ τοὔλαττον, ἐπειδὴ κοινὸν ἀμφοῖν ἡ ἐπίτασις· καί πως ὁ διασυρμὸς ταπεινότητός ἐστιν αὔξησις.

39 Ἡ πέμπτη μοῖρα τῶν συντελουσῶν εἰς τὸ ὕψος, ὧν [γε] ἐν ἀρχῇ προὐθέμεθα, ἔθ' ἡμῖν λείπεται, κράτιστε, ἡ διὰ τῶν λόγων αὐτὴ ποιὰ σύνθεσις. ὑπὲρ ἧς ἐν δυσὶν ἀποχρώντως ἀποδεδωκότες συντάγμασιν, ὅσα γε τῆς θεωρίας | ἦν ἡμῖν ἐφικτά, τοσοῦτον ἐξ 203 r.
ἀνάγκης προσθείημεν ἂν εἰς τὴν παροῦσαν ὑπόθεσιν, ὡς οὐ μόνον ἐστὶ πειθοῦς καὶ ἡδονῆς ἡ ἁρμονία φυσικὸν ἀνθρώποις, ἀλλὰ καὶ μεγα-
2 ληγορίας καὶ πάθους θαυμαστόν τι ὄργανον. οὐ γὰρ αὐλὸς μὲν

1 κατέχωσαν codd. Herodoti: κατίσχυσαν P | βάρβαροι βάλλοντες codd. Herodoti | 2 ὡπλι*μένους P σ add. p | 3 ὅμως Schurzfleischius: ὁμοίς P | 4 εὐλόγως Robortellus: εὐλόγους P | 6 ἴασις Faber | πανάκτα P πανάκεια p | ἐκστάσεως Portus: ἐξετάσεως P | 9 ἔσχ' Portus: ἔσχα P | ἔχοντ' ἐπιστολῆς Valckenaerius ad Theocr. Adon. p. 256: ἔχον γὰρ στολῆς P | ἔχοντ' ἀὀ ἐπιστολῆς Schurzfleischius | λακωνικῆς add. Valckenaerius | ἀγρὸς ἔσχ' ἐλάττω γῆν ἐπιστολῆς λακωνικῆς Casaubonus ad Strab. p. 24 ἔσχε γὰρ ἐλάττω γῆν σκυτάλης λακωνικῆς Faber ἀγρὸν ἔσχ' ἐλάττω 'πιστολῆς λακωνικῆς Tollius Meinekius fr. com. V p. CCCXCII | 13 γε del. Spengelius | 14 κράτιστε* P ὦ κράτιστε Robortellus | καὶ κρατίστη νὴ Δία τῶν ὀνομάτων αὐτῶν ποιὰ Courierius ad Xenoph. hipp. p. 81 | ἡ — σύνθεσις del. Morus | διὰ del. Pearcius | 15 *ῆς P | σημ. περὶ συνθέσεως ἔγραψε Διονύσιος in marg. P | 16 γε διὰ τῆς Faber γε ἐκ τῆς Tollius | 18 ἀνθρώποις ἐνέργημα Manutius | μεγαληγορίας Tollius: μετ' ἐλευθερίας P | 19 αὐλὸς μόνον Manutius | ὁ μὲν γὰρ αὐλὸς Reiskius

9 STRABO I p. 36 εἰσί τινες ὑπερβολαὶ ἐπὶ ὑπερβολαῖς, ὡς τὸ — ἐλάττω δ' ἔχειν γῆν τὸν ἀγρὸν ἐπιστολῆς λακωνικῆς. | 18 QUINTILIANUS IX, 4, 9 ideo eruditissimo cuique persuasum est valere eam ⟨compositionem⟩ quam plurimum non ad delectationem modo, sed ad motum quoque animorum. primum, quia nihil intrare potest in affectum, quod in aure velut quodam vestibulo statim offendit, deinde, quod natura ducimur ad modos. neque enim aliter eveniret, ut illi ⟨*leg.* nudi⟩ quoque organorum soni, quamquam verba non exprimunt, in alios tamen atque alios motus ducerent auditorem.

39 ἐντίθησίν τινα πάθη τοῖς ἀκροωμένοις καὶ οἷον ἔκφρονας καὶ κορυ-
βαντιασμοῦ πλήρεις ἀποτελεῖ, καὶ βάσιν ἐνδούς τινα ῥυθμοῦ πρὸς
ταύτην ἀναγκάζει βαίνειν ἐν ῥυθμῷ καὶ συνεξομοιοῦσθαι τῷ μέλει
τὸν ἀκροατήν, κἂν ἄμουσος ᾖ παντάπασι, καὶ νὴ Δία φθόγγοι κι-
θάρας, οὐδὲν ἁπλῶς σημαίνοντες, ταῖς τῶν ἤχων μεταβολαῖς καὶ
τῇ πρὸς ἀλλήλους κρούσει καὶ μίξει τῆς συμφωνίας θαυμαστὸν
ἐπάγουσι πολλάκις, ὡς ἐπίστασαι, θέλγητρον — καίτοι ταῦτα εἴ- 3
δωλα καὶ μιμήματα νόθα ἐστὶ πειθοῦς, οὐχὶ τῆς ἀνθρωπείας φύ-
σεως, ὡς ἔφην, ἐνεργήματα γνήσια —, οὐκ οἰόμεθα δ' ἄρα τὴν
σύνθεσιν, ἁρμονίαν τινὰ οὖσαν λόγων ἀνθρώποις ἔμφυτον καὶ τῆς
ψυχῆς αὐτῆς, οὐχὶ τῆς ἀκοῆς μόνης ἐφαπτομένην, ποικίλας κινοῦ-
σαν ἰδέας ὀνομάτων νοήσεων πραγμάτων κάλλους εὐμελείας, πάν-
των ἡμῖν ἐντρόφων καὶ συγγενῶν, καὶ ἅμα τῇ μίξει καὶ πολυμορ-
φίᾳ τῶν ἑαυτῆς φθόγγων τὸ παρεστὼς τῷ λέγοντι πάθος εἰς τὰς
ψυχὰς τῶν πέλας παρεισάγουσαν καὶ εἰς μετουσίαν αὐτοῦ τοὺς
ἀκούοντας ἀεὶ καθιστᾶσαν, τῇ τε τῶν λέξεων ἐποικοδομήσει τὰ με-
γέθη συναρμόζουσαν, δι' αὐτῶν τούτων κηλεῖν τε ὁμοῦ καὶ πρὸς
203v. ὄγκον τε καὶ ἀξίωμα καὶ ὕψος καὶ πᾶν, ὃ ἐν αὐτῇ περιλαμβάνει,
ἡμᾶς ἑκάσ|τοτε συνδιατιθέναι, παντοίως ἡμῶν τῆς διανοίας ἐπικρα-
τοῦσαν; ἀλλ' εἴη ἂν μανία τὸ περὶ τῶν οὕτως ὁμολογουμένων
διαπορεῖν· ἀποχρῶσα γὰρ ἡ πεῖρα πίστις. ὑψηλόν γέ που δοκεῖ 4
νόημα, καὶ ἔστι τῷ ὄντι θαυμάσιον, ὃ τῷ ψηφίσματι ὁ Δημοσθέ-
νης ἐπιφέρει· 'τοῦτο τὸ ψήφισμα τὸν τότε τῇ πόλει περιστάντα κίν-

1 ἐντίθησιν Faber: ἐπιτίθησιν P | ἀκροομένοις P ἀκροωμένοις P | 2 ῥυθμοῦ del. Valckenaerius diatr. Eurip. p. 208 εὔρυθμον Ruhnkenius apud Valckenaerium | 3 ἀναγκάζει Manutius: ἀναγκάσει P | ἐν ῥυθμῷ del. Morus | 4 ἄμουσος ᾖ Boivinus: ἄλλους ὅση P | ἄλλως τε καὶ ἐπεὶ νὴ Δία οἱ φθόγγοι τῆς κιθάρας Faber | 5 σημαίνοντ**ς P σημαίνον ταῖς P τες superscr. p | 6 κράσει v. d. apud Pearcium | 7 ὡς ἐπίστασαι Faber: ὡς ἐπίστασιν P ἐπ' ἔνστασιν Weiskius | ταῦτα Morus: ταῦτα τὰ P τὰ τοιαῦτα Manutius | 9 οἰώμεθα Reiskius | 10 λόγων post σύνθεσιν ponit Vaucherus | ἔμφυτον Bakius ad Apsin. rhet. p. 201: ἐμφύτοις P ἐμφύτως p ἐμφύτων Manutius | 11 ἐφαπτομένην Faber: ἐφαπτομένων P | 14 τῶν ἐν αὐτοῖς Petra | 17 καὶ δι' αὐτῶν Faber | κηλεῖν Robortellus: καλεῖν P | 18 περιλαμβάνειν Faber | 19 ἡμᾶς Faber: καὶ ἡμᾶς P | post ἐπικρατοῦσαν plene distinxit Bakius | 20 εἴη ἂν μανία Spengelius: εἰ καὶ μανία P ἐστὶ καὶ μανία Pearcius εἴη γε μανία Morus εἴη καὶ μανία vel μανίας Toupius ἔοικε μανίᾳ Manutius | 21 που δοκεῖ Reiskius: τοῦ δοκεῖν P τῷ δοκεῖν Toupius τοι δοκεῖ Finckhius ztschr. f. alterth. wiss. 1838 p. 197 | 23 τότε codd. Demosthenis: τότ' ἐν P

4 EURIPIDES STHENEBOEA (666) ποιητὴν δ' ἄρα
Ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν.
23 DEMOSTHENES DE COR. 188

δυνον παρελθεῖν ἐποίησεν ὥσπερ νέφος'· ἀλλ' αὐτῆς τῆς διανοίας 39
οὐκ ἔλαττον τῇ ἁρμονίᾳ πεφώνηται. ὅλον τε γὰρ ἐπὶ τῶν δακτυλικῶν εἴρηται ῥυθμῶν· εὐγενέστατοι δ' οὗτοι καὶ μεγεθοποιοί — διὸ καὶ τὸ ἡρῷον ὧν ἴσμεν κάλλιστον μέτρον συνιστᾶσι —, τό τε *. ἐπείτοιγε ἐκ τῆς ἰδίας αὐτὸ χώρας μετάθες ὅποι δὴ ἐθέλεις 'τοῦτο τὸ ψήφισμα, ὥσπερ νέφος, ἐποίησε τὸν τότε κίνδυνον παρελθεῖν', ἢ νὴ Δία μίαν ἀπόκοψον συλλαβὴν μόνον 'ἐποίησε παρελθεῖν ὡς νέφος', καὶ εἴσῃ, πόσον ἡ ἁρμονία τῷ ὕψει συνηχεῖ. αὐτὸ γὰρ τὸ 'ὥσπερ νέφος' ἐπὶ μακροῦ τοῦ πρώτου ῥυθμοῦ βέβηκε, τέτρασι καταμετρουμένου χρόνοις· ἐξαιρεθείσης δὲ τῆς μιᾶς συλλαβῆς 'ὡς νέφος' εὐθὺς ἀκρωτηριάζει ἡ συγκοπὴ τὸ μέγεθος. ὡς ἔμπαλιν, ἐὰν ἐπεκτείνῃς 'παρελθεῖν ἐποίησεν, ὡσπερεὶ νέφος', τὸ αὐτὸ σημαίνει, οὐ τὸ αὐτὸ δὲ ἔτι προσπίπτει· ὅτι τῷ μήκει τῶν ἄκρων χρόνων συνεκλύεται καὶ διαχαλᾶται τὸ ὕψος τὸ ἀπότομον.

40 Ἐν δὲ τοῖς μάλιστα μεγεθοποιεῖ τὰ λεγόμενα, καθάπερ τὰ σώματα ἡ τῶν μελῶν ἐπισύνθεσις, ὧν ἓν μὲν οὐδὲν τμηθὲν ἀφ' ἑτέρου καθ' ἑαυτὸ ἀξιόλογον ἔχει, πάντα δὲ μετ' ἀλλήλων ἐκπληροῖ
τέλειον σύστημα, οὕτως τὰ μεγά|λα, σκεδασθέντα μὲν ἀπ' ἀλλή- 204 r.
λων ἄλλο ἄλλοσ', ἅμα ἑαυτοῖς συνδιαφορεῖ καὶ τὸ ὕψος, σωματοποιούμενα δὲ τῇ κοινωνίᾳ καὶ ἔτι δεσμῷ τῆς ἁρμονίας περικλειόμενα αὐτῷ τῷ κύκλῳ φωνήεντα γίνεται· καὶ σχεδὸν ἐν ταῖς περιόδοις
2 ἐρανός ἐστι πλήθους τὰ μεγέθη. ἀλλὰ μὴν ὅτι γε πολλοὶ καὶ συγγραφέων καὶ ποιητῶν οὐκ ὄντες ὑψηλοὶ φύσει, μήποτε δὲ καὶ ἀμεγέθεις, ὅμως κοινοῖς καὶ δημώδεσι τοῖς ὀνόμασι καὶ οὐδὲν ἐπαγομένοις περιττὸν ὡς τὰ πολλὰ συγχρώμενοι διὰ μόνου τοῦ συνθεῖναι καὶ ἁρμόσαι ταῦτα [δ' ὅμως] ὄγκον καὶ διάστημα καὶ τὸ μὴ ταπεινοὶ δοκεῖν εἶναι περιεβάλοντο, καθάπερ ἄλλοι τε πολλοὶ καὶ Φί-

1 ἀλλὰ τὸ τῆς Morus | 2 ἐκπεφώνηται Reiskius | 4 τότε** ἐπείτοιγε Pearcius ὥσπερ νέφος add. Pearcius τό τε om. Manutius | τὸ 'τότε ἐν τῇ πόλει' ἄγε Schurzfleischius |5 αὖ τι Faber | ἐθέλοις Faber | 10 καταμετρουμένου Tollius: καταμετρούμενον P | 11 ἀκρωτηριάσεις aut ἀκρωτηριάζεται Tollius | ἡ συγκοπὴ Reiskius: τῇ συγκοπὴ P τῇ συγκοπῇ Robortellus del. Weiskius | 12 ὡσπερεὶ Tollius: ὥσπερ P ὥσπερ τι Faber | 12 αὐτὸ μὲν σημαίνει Tollius | τὸ* P | 14 τοῦ ὕψους Tollius τὸ ὕψους ἀπότομον Faber | 16 ἐπισύνδεσις Vaucherus | οὐδενὶ Robortellus οὐδέν τι Schurzfleischius | τμηθὲν ἀφ' ἑτέρου del. Vaucherus | 17 τι ἀξιόλογον Manutius | 18 μ*λα P μάλα in marg. τὰ μεγάλα P μέλη Pearcius del. Tollius | 19 ἄλλο ἄλλοσ' Spengelius: ἀλλοσ' P ἀλλῃ superscr. p ἄλλο ἄλλη Manutius | κόμψως Reiskius | 20 ἔτι τῷ Manutius | 22 γε Tollius: τε P | 26 δ' del. Spengelius | ὅμως del. Faber | ταπεινὰ Tollius | 27 Φίλισκος Dacerius

40 λιστος, Ἀριστοφάνης ἔν τισιν, ἐν τοῖς πλείστοις Εὐριπίδης, ἱκανῶς
ἡμῖν δεδήλωται. μετά γέ τοι τὴν τεκνοκτονίαν Ἡρακλῆς φησι

γέμω κακῶν δὴ κοὐκέτ᾽ ἔσθ᾽ ὅποι τεθῇ.

σφόδρα δημῶδες τὸ λεγόμενον, ἀλλὰ γέγονεν ὑψηλὸν τῇ πλάσει
ἀναλογοῦν· εἰ δ᾽ ἄλλως αὐτὸ συναρμόσεις, φανήσεταί σοι, διότι τῆς
συνθέσεως ποιητὴς ὁ Εὐριπίδης μᾶλλόν ἐστιν ἢ τοῦ νοῦ. ἐπὶ δὲ τῆς 4
συρομένης ὑπὸ τοῦ ταύρου Δίρκης

εἰ δέ που τύχοι
πέριξ ἑλίξας, εἶλκε** ὁμοῦ λαβὼν
γυναῖκα πέτραν δρῦν μεταλλάσσων ἀεί

ἔστι μὲν γενναῖον καὶ τὸ λῆμμα, ἁδρότερον δὲ γέγονε τῷ τὴν ἁρ-
μονίαν μὴ κατεσπεῦσθαι, μηδ᾽ οἷον ἐν ἀποκυλίσματι φέρεσθαι, ἀλλὰ
στηριγμούς τε ἔχειν πρὸς ἄλληλα τὰ ὀνόματα καὶ ἐξερείσματα τῶν
204v. χρόνων πρὸς ἑδραῖον διαβεβηκό|τα μέγεθος.

Μικροποιοῦν δ᾽ οὐδὲν οὕτως ἐν τοῖς ὑψηλοῖς, ὡς ῥυθμὸς κεκλα-
σμένος λόγου καὶ σεσοβημένος, οἷον δὴ πυρρίχιοι καὶ τροχαῖοι καὶ 41
διχόρειοι, τέλεον εἰς ὀρχηστικὸν συνεκπίπτοντες. εὐθὺς γὰρ πάντα
φαίνεται τὰ κατάρυθμα κομψὰ καὶ μικροχαρῆ καὶ ἀπαθέστατα
διὰ τῆς ὁμοειδείας ἐπιπολάζοντα· καὶ ἔτι τούτων τὸ χείριστον ὅτι, 2
ὥσπερ τὰ ᾠδάρια τοὺς ἀκροατὰς ἀπὸ τοῦ πράγματος ἀφέλκει καὶ
ἐφ᾽ αὑτὰ βιάζεται, οὕτως καὶ τὰ κατερρυθμισμένα τῶν λεγομένων
οὐ τὸ τοῦ λόγου πάθος ἐνδίδωσι τοῖς ἀκούουσι, τὸ δὲ τοῦ ῥυθμοῦ,
ὡς ἐνίοτε προειδότας τὰς ὀφειλομένας καταλήξεις αὐτοὺς ὑποκρούειν
τοῖς λέγουσι καὶ φθάνοντας ὡς ἐν χορῷ τινι προαποδιδόναι τὴν βά-
σιν. ὁμοίως δὲ ἀμεγέθη καὶ τὰ λίαν συγκείμενα καὶ εἰς μικρὰ καὶ
βραχυσύλλαβα συγκεκομμένα καὶ ὡσανεὶ γόμφοις τισὶν ἐπαλλήλοις 3
κατ᾽ ἐγκοπὰς καὶ σκληρότητας ἐπισυνδεδεμένα.

1 Ἀριστοφάνης ἔν τισίν τε ἐν δὲ Faber | 3 καὶ οὐκέτ᾽ P | 5 ἀνάλογον Morus ἀνα-λόγῳ Ruhnkenius τῇ ἀνάλογον πλάσει Kayserus n. iahrb. LXX p. 295 | συναρ-μόσ**ς P συναρμόσεις P | ὅτι διὰ τῆς Pearcius | 6 ἐπὶ Manutius: ἐπεὶ P | 8 που τύχοι — εἷλχ᾽ Tollius | εἷλκε πάνθ᾽ Bergkius | 9 ἑλίξας ταῦρος εἷλχ᾽ Valcke-naerius diatr. p. 66 | 10 γυναικὶ Vngerus parad. theb. p. 83 | 11 λῆμμα Ro-bortellus: λῆμα P | 12 ἐν Toupius: μὲν P | 15 μ*κροποιοῦν P μικροποιοῦν P μικροποιεῖ Kayserus n. iahrb. LXX p 295 | 16 λόγου Faber: λόγῳ P ὅλως Ruhnkenius λόγων Pearcius τόνῳ Reiskius λόγῳ del. Vaucherus | 17 διχόρει*** P διχόρειοι P | ὀρ*ηστι*κὸν P ὀρχηστικὸν P | 19 ὁμοειδ*ίας P | ὅτι Manutius: ὅπωσ P | 21 ἐφ᾽ αὑτὰ Petra: ἐπ᾽ αὐτὰ P | 22 ῥυ*μοῦ P θ add. p | 24 χο*ρῷ P | 25 συνηγμένα Kayserus n. iahrb. LXX p. 295 | 27 σκληρότητος P σκληρότη-τας p

3 EURIPIDES HERC. FUR. 1245 | 8 EURIPIDES ANTIOPA

Ἔτι γε μὴν ὕψους μειωτικὸν καὶ ἡ ἄγαν τῆς φράσεως συγ- 42
κοπή· πηροῖ γὰρ τὸ μέγεθος, ὅταν εἰς λίαν συνάγηται βραχύ·
ἀκουέσθω δὲ νῦν οὐ τὰ δεόντως συνεστραμμένα, ἀλλ' ὅσα ἄντικρυς
μικρὰ καὶ κατακεκερματισμένα· συγκοπὴ μὲν γὰρ κολούει τὸν νοῦν,
συντομία δ' ἐπευθύνει. δῆλον δ' ὡς ἔμπαλιν τὰ ἐκτάδην ἀποψύ-
χεται παρ' ἄκαιρον μῆκος ἀναχαλώμενα.

43 Δεινὴ δ' αἰσχῦναι τὰ μεγέθη καὶ ἡ μικρότης τῶν ὀνομάτων.
παρὰ γοῦν τῷ Ἡροδότῳ κατὰ μὲν τὰ λήμματα δαι|μονίως ὁ χει- 205 r.
μὼν πέφρασται, τινὰ δὲ νὴ Δία περιέχει τῆς ὕλης ἀδοξότερα· καὶ
τοῦτο μὲν ἴσως 'ζεσάσης δὲ τῆς θαλάσσης', ὡς τὸ ζεσάσης πολὺ
τὸ ὕψος περισπᾷ διὰ τὸ κακόστομον· ἄλλο 'ἄνεμος' φησὶν 'ἐκό-
πασε'· καὶ τοὺς περὶ τὸ ναυάγιον δρασσομένους ἐξεδέχετο 'τέλος
ἄχαρι'. ἄσεμνον γὰρ τὸ κοπάσαι ἰδιωτικόν, τὸ δ' ἄχαρί ἐστι τηλι-
2 κούτου πάθους ἀνοίκειον. ὁμοίως καὶ ὁ Θεόπομπος ὑπερφυῶς σκευά-
σας τὴν τοῦ Πέρσου κατάβασιν ἐπ' Αἴγυπτον ὀνοματίοις τισὶ τὰ
ὅλα διέβαλεν. 'ποία γὰρ πόλις ἢ ποῖον ἔθνος τῶν κατὰ τὴν Ἀσίαν
οὐκ ἐπρεσβεύετο πρὸς βασιλέα; τί δὲ τῶν ἐκ τῆς γῆς γεννωμένων
ἢ τῶν κατὰ τέχνην ἐπιτελουμένων καλῶν ἢ τιμίων οὐκ ἐκομίσθη
δῶρον ὡς αὐτόν; οὐ πολλαὶ μὲν καὶ πολυτελεῖς στρωμναὶ καὶ χλα-
νίδες — τὰ μὲν ἁλουργῆ, τὰ δὲ ποικιλτά, τὰ δὲ λευκά — πολλαὶ δὲ

2 πηροῖ Manutius: πληροῖ P | 3 οὐ τὰ Spengelius: μὴ τὰ οὐ P μὴ τὰ Manutius | 4 κολούει Faber: κωλούει P κωλύει Robortellus | 5 ἐπευθύνει Petra: ἐπ' εὐθὺ P *ἐπ' εὐθὺ Manutius ἄγει add. H. Stephanus | ἀποψύχεται Valckenaerius apud Ruhnkenium: ἀπόψυχα τὰ P ἀπόψυχα ἅτε Toupius | 6 παρ' Pearcius: γὰρ P εἰς Ruhnkenius | ἀναχαλώμενα Faber: ἀνακαλούμενα P ἀναλώμενα Reiskius | ἄψυχα γὰρ διὰ μῆκος ἄπειρον ἀναχαλώμενα Faber ἀπίψυχα γὰρ τὰ ἄκαιρον μῆκος ἀνακαλινδούμενα Spengelius | τὰ — ἀνακαλούμενα del. Vaucherus | 7 αἰσχύν*αι P | 8 λήματα Nolteius ztschr. f. alterth. wiss. 1854 p. 448 | 9 νὴ Δία Manutius: γήδια P | καὶ τοῦτο — ἄλλο del. Morus | 11 ἐκόπασε codd. Herodoti: ἐκόπιασε P | 12 βρασσομένους Manutius ἐκβρασσομένους Toupius .ἀρασσομένους Valckenaerius anim. ad Ammon. p. 259 sq. | τοὺς — ἐξεδέχετο del. Valckenaerius ad Herodot. VIII, 113 | 13 ἄχαρί ἐστι scripsi: ἀχαριστὶ P ἀχάριστον Robortellus | 14 κατασκευάσας Tollius | 17 γεννομένων P γενναμένων P | 18 τιμίων Manutius: τιμῶν P | ἐκομί*θη P σ add. p | 19 στρομναὶ P στρωμναὶ P | 20 ἁλουργεῖς vel τὰ δὲ ποικιλταὶ τὰ δὲ λευκαὶ Manutius

10 HERODOTUS VII, 188 ἅμα δὲ ὄρθρῳ, ἐξ αἰθρίης τε καὶ νηνεμίης τῆς θαλάσσης ζεσάσης, ἐπέπεσέ σφι χειμών τε μέγας καὶ πολλὸς ἄνεμος ἀπηλιώτης. — — αἱ δὲ ⟨νέες⟩ ἐς Μελίβοιαν πόλιν, αἱ δὲ ἐς Κασθαναίην ἐξεβράσσοντο. — — 191 καταείδοντες γόησι τῷ ἀνέμῳ οἱ μάγοι — ἔπαυσαν τετάρτῃ ἡμέρῃ, ἢ ἄλλως κως αὐτὸς ἐθέλων ἐκόπασε. | 12 HERODOTUS VIII, 13 καὶ τὸ τέλος σφι ἐγένετο ἄχαρι· ὡς γὰρ δὴ πλώουσι αὐτοῖσι χειμών τε καὶ τὸ ὕδωρ ἐπεγίνετο, — — ἐξέπιπτον πρὸς τὰς πέτρας.

43 σκηναὶ χρυσαῖ κατεσκευασμέναι πᾶσι τοῖς χρησίμοις, πολλαὶ δὲ
καὶ ξυστίδες καὶ κλῖναι πολυτελεῖς; ἔτι δὲ καὶ κοῖλος ἄργυρος καὶ
χρυσὸς ἀπειργασμένος καὶ ἐκπώματα καὶ κρατῆρες, ὧν τοὺς μὲν
λιθοκολλήτους, τοὺς δ' ἄλλως ἀκριβῶς καὶ πολυτελῶς εἶδες ἂν ἐκ-
πεπονημένους. πρὸς δὲ τούτοις ἀναρίθμητοι μὲν ὅπλων μυριάδες
τῶν μὲν ἑλληνικῶν, τῶν δὲ βαρβαρικῶν, ὑπερβάλλοντα δὲ τὸ πλῆ-
θος ὑποζύγια καὶ πρὸς κατακοπὴν ἱερεῖα σιτευτά, καὶ πολλοὶ μὲν
ἀρτυμάτων μέδιμνοι, πολλοὶ δὲ θύλακοι καὶ σάκκοι καὶ χάρται
205 r. βυβλίων καὶ τῶν ἄλλων ἁπάντων χρησίμων· | τοσαῦτα δὲ κρέα
τεταριχευμένα παντοδαπῶν ἱερείων, ὡς σωροὺς αὐτῶν γενέσθαι τηλι-
κούτους, ὥστε τοὺς προσιόντας πόρρωθεν ὑπολαμβάνειν ὄχθους εἶναι
καὶ λόφους ἀντωθουμένους'. ἐκ τῶν ὑψηλοτέρων εἰς τὰ ταπεινότερα
ἀποδιδράσκει, δέον ποιήσασθαι τὴν αὔξησιν ἔμπαλιν· ἀλλὰ τῇ θαυ- 3
μαστῇ τῆς ὅλης παρασκευῆς ἀγγελίᾳ παραμίξας τοὺς θυλάκους
καὶ τὰ ἀρτύματα καὶ τὰ σακκία μαγειρείου τινὰ φαντασίαν ἐποίη-
σεν. ὥσπερ γὰρ εἴ τις ἐπ' αὐτῶν ἐκείνων τῶν προκοσμημάτων με-
ταξὺ τῶν χρυσίων καὶ λιθοκολλήτων κρατήρων καὶ ἀργύρου κοίλου
σκηνῶν τε ὁλοχρύσων καὶ ἐκπωμάτων φέρων μέσα ἔθηκε θυλάκια
καὶ σακκία, ἀπρεπὲς ἂν ἦν τῇ προσόψει τὸ ἔργον· οὕτω καὶ τῆς
ἑρμηνείας τὰ τοιαῦτα ὀνόματα αἴσχη καὶ οἱονεὶ στίγματα καθίστα-
ται παρὰ καιρὸν ἐγκαταταττόμενα. παρέκειτο δ' ὡς ὁλοσχερῶς 4
ἐπελθεῖν καὶ ὧς ὄχθους λέγει συμβεβλῆσθαι καὶ περὶ τῆς ἄλλης
παρασκευῆς, οὕτως ἁμάξας εἰπεῖν καὶ καμήλους καὶ πλῆθος ὑπο-

1 χρυσαῖ post ξυστίδες ponit Nolteius ztschr. f. alterth. wiss. 1854 p. 448 | κατασκευασμέναι P | 4 λι**κολλίτους P λιθοκολλήτους P | ἄλλως scripsi: ἄλλους P | 5 ὄψων Dobreeus adv. I p. 566 | 7 σιτευτά Canterus nov. lectt. II, 25: εἰς ταῦτα P εἰς ταὐτά Spengelius | 8 δὲ codd. Athenaei: δ' οἱ P δ' αὖ Morus | θυλακες Ruhnkenius | σάκοι P σάκκοι χαρτῶν καὶ Pearcius | καὶ χόρτου καὶ Reiskius | χύτραι βολβῶν Toupius | 9 τοσαῦτα Robortellus: τοιαῦτα P | 12 ἀνωθουμένους Manutius ἀνορθουμένους Faber συνωθουμένους Toupius | 13 ἅμα Pearcius ἀλλὰ καὶ Toupius | 14 ἀπαγγελίᾳ Toupius | 15 μαγειρίου P μαγειρείου p | 16 τῶν λαμπρῶν κοσμημάτων Kayserus n. iahrb. LXX p. 295 | 17 χρυσῶν aut μεταξὺ τῶν λιθοκολλήτων κρατήρων καὶ χρυσοῦ καὶ ἀργυροῦ Spengelius | 20 ἑ*****ας P ἑρμηνείας P | 22 ὡς Spengelius: οὓς P | κρεῶν ὄχθους Spengelius | 23 ἁμάξας Toupius Reiskius: ἀλλάξας P | καὶ καμήλους Toupius: καμήλους P

7 ATHENAEUS II p. 67 F καὶ Θεόπομπος δέ φησι 'πολλοὶ μὲν ἀρτυμάτων, πολλοὶ δὲ σάκκοι καὶ θύλακοι βιβλίων καὶ τῶν ἄλλων ἁπάντων τῶν χρησίμων πρὸς τὸν βίον'. IV p. 145 A Θεόπομπος ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῶν φιλιππικῶν 'ὅταν' φησὶ 'ὁ βασιλεὺς εἴς τινας ἀφίκηται τῶν ἀρχομένων —, ἑκάσταις τῶν πόλεων κατὰ τὸ μέγεθος ὥσπερ ὁ φόρος καὶ τὸ δεῖπνον ἐκ παλαιοῦ τεταγμένον ἐστήν'.

ζυγίων, φορταγωγούντων πάντα τὰ πρὸς τρυφὴν καὶ ἀπόλαυσιν τρα- 43
πεζῶν χορηγήματα, ἢ σωροὺς ὀνομάσαι παντοίων σπερμάτων καὶ
τῶν ἅπερ διαφέρει πρὸς ὀψοποιΐας καὶ ἡδυπαθείας ἢ εἴπερ πάντως
ἐβούλετο αὐτάρκη οὕτως θεῖναι, καὶ ὅσα τραπεζοκόμων εἰπεῖν καὶ
ὀψοποιῶν ἡδύσματα. οὐ γὰρ δεῖ καταντᾶν ἐν ταῖς ὕψεσιν εἰς ῥυ-
5 παρὰ καὶ ἐξυβρισμένα, | ἂν μὴ σφόδρα ὑπό τινος ἀνάγκης συνδιω- 206 r.
κώμεθα, ἀλλὰ τῶν πραγμάτων πρέποι ἂν καὶ τὰς φωνὰς ἔχειν
ἀξίας καὶ μιμεῖσθαι τὴν δημιουργήσασαν φύσιν τὸν ἄνθρωπον, ἥτις
ἐν ἡμῖν τὰ μέρη τὰ ἀπόρρητα οὐκ ἔθηκεν ἐν προσώπῳ οὐδὲ τὰ τοῦ
παντὸς ὄγκου περιηθήματα, ἀπεκρύψατο δὲ ὡς ἐνῆν καὶ κατὰ τὸν
Ξενοφῶντα τοὺς τούτων ὅτι πορρωτάτω ὀχετοὺς ἀπέστρεψεν, οὐδαμῇ
καταισχύνασα τὸ τοῦ ὅλου ζῴου κάλλος.

6 Ἀλλὰ γὰρ οὐκ ἐπ' εἴδους ἐπείγει τὰ μικροποιὰ διαριθμεῖν·
προϋποδεδειγμένων γὰρ τῶν ὅσα εὐγενεῖς καὶ ὑψηλοὺς ἐργάζεται τοὺς
λόγους, δῆλον ὡς τὰ ἐναντία τούτων ταπεινοὺς ποιήσει κατὰ τὸ πλεῖ-
στον καὶ ἀσχήμονας.

44 Ἐκεῖνο μέντοι λοιπὸν ἕνεκα τῆς σῆς χρηστομαθείας οὐκ ὀκνή-
σομεν ἔτι προσθεῖναι διασαφῆσαι, Τερεντιανὲ φίλτατε, ὅπερ ἐζήτησέ
τις τῶν φιλοσόφων πρὸς ἐμὲ ἔναγχος, ‘θαῦμά μ' ἔχει’, λέγων ‘ὡς
ἀμέλει καὶ ἑτέρους πολλούς, πῶς ποτε κατὰ τὸν ἡμέτερον αἰῶνα
πιθαναὶ μὲν ἐπ' ἄκρον καὶ πολιτικαί, δριμεῖαι τε καὶ ἐντρεχεῖς, καὶ
μάλιστα πρὸς ἡδονὰς λόγων εὔφοροι, ὑψηλαὶ δὲ λίαν καὶ ὑπερμε-
γέθεις, πλὴν εἰ μή τι σπάνιον, οὐκέτι γίνονται φύσεις. τοσαύτη
2 λόγων κοσμική τις ἐπέχει τὸν βίον ἀφορία. ἢ νὴ Δί' ἔφη ‘πιστευ-
τέον ἐκείνῳ τῷ θρυλουμένῳ, ὡς ἡ δημοκρατία τῶν μεγάλων ἀγαθὴ

2 ταριχευμάτων Tollius | 3 ὀψοποιΐας καὶ del. Schurzfleischius | μᾶλλον ἢ πάντα ὡς Manutius | μὴ εἴπερ Weiskius f. | πάντως Spengelius: πάντα ὡς P πάντα ὅσα Toupius παντοίως Spengelius | εἴπερ πάντως ἐβούλετο αὐτὰ ἐξῆς οὕτως Reiskius | 5 εἰς ῥυπαρὰ Manutius: ****** παρὰ P *παρὰ Robortellus | 8 ἀξίαν P ἀξίας p | διμηουργησασαν P δημιουργήσασαν P | 9 ἐμ P ἐν P | 10 περιηθήματα Pearcius: περιήθματα P περιττώματα Manutius περιψήματα Reiskius | 11 τούτων codd. Xenophontis: τῶν P | 12 καται*χύνασα P σ add. p | 13 οὐδὲν Nolteius ztschr. f. alterth. wiss. 1854 p. 448 | ἐπ' εἴδους Tollius: ἐπιδοὺς P | δεῖ Pearcius ἐπέοικε Reiskius | οὐκ ἐπαναγκές ἐστι Faber | 17 ὀκνήσο*μεν P | 18 ἔτι προσθεῖναι Nolteius ztschr. f. alterth. wiss. 1854 p. 464: ἐπιπροσθῆναι P | διασαφῆσαι del. Spengelius καὶ διασαφῆσαι Robortellus | 19 πρὸς ἐμὲ ἔναγχος Cobetus nov. lectt. p. 645: προσέναγχος P προὔναγχος Valckenaerius ad Eurip. Phoen. 204 | 22 λογικῶν Hemsterhusius ad Luciani dial. sel. p. 71 λογίων Vaucherus | δὲ Manutius: τε P | 24 ἦ Morus

10 XENOPHON MEM. I, 4, 6 ἐπεὶ δὲ τὰ ἀποχωροῦντα δυσχερῆ, ἀποστρέψαι τοὺς τούτων ὀχετοὺς ᾗ δυνατὸν προσωτάτω τῶν αἰσθήσεων.

44 τιθηνός, ᾗ μόνῃ σχεδὸν καὶ συνήκμασαν οἱ περὶ λόγους δεινοὶ καὶ
συναπέθανον; θρέψαι τε γάρ φασιν ἱκανὴ τὰ φρονήματα τῶν μεγα-
206v. λοφρόνων ἡ ἐλευθερία καὶ | ἐπελπίσαι καὶ ἅμα διελθεῖν τὸ πρόθυμον
τῆς πρὸς ἀλλήλους ἔριδος καὶ τῆς περὶ τὰ πρωτεῖα φιλοτιμίας. ἔτι 3
γε μὴν διὰ τὰ προκείμενα ἐν ταῖς πολιτείαις ἔπαθλα ἑκάστοτε τὰ
ψυχικὰ προτερήματα τῶν ῥητόρων μελετώμενα ἀκονᾶται καὶ οἷον
ἐκτρίβεται καὶ τοῖς πράγμασι κατὰ τὸ εἰκὸς ἐλεύθερα συνεκλάμπει.
οἱ δὲ νῦν ἐοίκαμεν' ἔφη 'παιδομαθεῖς εἶναι δουλείας δικαίας, τοῖς αὐτῆς
ἔθεσι καὶ ἐπιτηδεύμασιν ἐξ ἁπαλῶν ἔτι φρονημάτων μόνον οὐκ ἐνε-
σπαργανωμένοι καὶ ἄγευστοι καλλίστου καὶ γονιμωτάτου λόγων
νάματος — τὴν ἐλευθερίαν' ἔφη 'λέγω —, διόπερ οὐδὲν ὅτι μὴ
κόλακες ἐκβαίνομεν μεγαλοφυεῖς. διὰ τοῦτο τὰς μὲν ἄλλας ἕξεις 4
καὶ εἰς οἰκέτας πίπτειν ἔφασκεν, δοῦλον δὲ μηδένα γίνεσθαι ῥήτορα·
εὐθὺς γὰρ ἀναζεῖ τὸ ἀπαρρησίαστον καὶ οἷον ἔμφρουρον ὑπὸ συνη-
θείας ἀεὶ κεκονδυλισμένον· 'ἥμισυ γάρ τ' ἀρετῆς' κατὰ τὸν Ὅμη-
ρον 'ἀποαίνυται δούλιον ἦμαρ'. ὥσπερ οὖν — εἴ γε' φησί 'τοῦτο 5
πιστόν [ἐστιν] ἀκούω — τὰ γλωττόκομα, ἐν οἷς οἱ πυγμαῖοι, κα-
λούμενοι δὲ νᾶνοι, τρέφονται, οὐ μόνον κωλύει τῶν ἐγκεκλεισμένων
τὰς αὐξήσεις, ἀλλὰ καὶ συνάροι διὰ τὸν περικείμενον τοῖς σώμασι
δεσμόν· οὕτως ἅπασαν δουλείαν, κἂν ᾖ δικαιοτάτη, ψυχῆς γλωτ-
τόκομον καὶ κοινὸν ἄν τις ἀποφήναιτο δεσμωτήριον'. ἐγὼ μέντοι γε 6
ὑπολαμβάνων 'ῥᾴδιον,' ἔφην 'ὦ βέλτιστε, καὶ ἴδιον ἀνθρώπου τὸ
καταμέμφεσθαι τὰ ἀεὶ παρόντα· ὅρα δέ, μή ποτε οὐχ ἡ τῆς οἰκου-

2 φασιν Toupius: φησὶν P | 3 ἐφελκύσαι Manutius | διωθεῖν Manutius διαλθεῖν Pearcius διεγείρειν Morus διενεγκεῖν Kayserus n. iahrb. LXX p. 295 | 5 ἑκάστοτε Robortellus: ἑκαστόστε P | 7 πρά*μασι P γ add. p | 8 αὐτοῖς P αὐτῆς p | 10 γο*νιμωτάτου P | 14 ἀναζεῖν Weiskius ἀνασειράζει Reiskius | ἐμφρουρεῖν aut κολοῦον ἐμφρουροῦνθ' Wakefieldus silva crit. V p. 121 | 16 δούλιον P ει superscr. p | 17 ἐστιν del. Pearcius | ὃ ἀκούω Pearcius | γλωττοκομεῖα Scaliger ad Propert. p. 247 (284) | ἐ* οἷς P ν add. p | 18 δὲ om. Scaliger | νᾶνοι Manutius: νάοι P δὲ νᾶνοι om. Robortellus | οἱ πρὶν πυγμαῖοι καλούμενοι, νῦν δὲ Reiskius | 19 συνάγει Scaliger συναιρεῖ Ruhnkenius | σώμασι Scaliger: στόμασι P | 20 ἁπλῶς ἂν πᾶσαν Courierius ad Xenoph. hipp. p. 81 | 21 ἂν Spengelius: δὴ P | ἀποφήνετο P αι superscr. p | ἀπεφήνατο Spengelius sine ἂν | 22 ὑπολαμβάνων Tollius: ὑπολαμβάνω P | ἔφην Faber: ἔφη P | 23 κ******* P καταμεμφε p | ἀεὶ τὰ Tollius | μή ποτε οὐχ ἡ Spengelius: μή πο****χη P | τῆς add. in ras. p

5 PLATO REP. IV p. 434 E καὶ τάχ' ἂν παρ' ἄλληλα σκοποῦντες καὶ τρίβοντες ὥσπερ ἐκ πυρείων ἐκλάμψαι ποιήσαιμεν τὴν δικαιοσύνην. | 8 PLATO TIM. p. 75 E τὸ δὲ λόγων νᾶμα ἔξω ῥέον καὶ ὑπηρετοῦν φρονήσει κάλλιστον καὶ ἄριστον πάντων ναμάτων. | 11 HOMERUS OD. ρ, 322 ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς ἀνέρος, εὖτ' ἄν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσιν.

μένης εἰρήνη διαφθείρει τὰς μεγά|λας φύσεις, πολὺ δὲ μᾶλλον ὁ 44
κατέχων ἡμῶν τὰς ἐπιθυμίας ἀπεριόριστος οὑτοσὶ πόλεμος καὶ νὴ 207 r.
Δία πρὸς τούτῳ τὰ φρουροῦντα τὸν νῦν βίον καὶ κατ' ἄκρας ἄγοντα
καὶ φέροντα ταυτὶ πάθη. ἡ γὰρ φιλοχρηματία, πρὸς ἣν ἅπαντες
ἀπλήστως ἤδη νοσοῦμεν, καὶ ἡ φιληδονία δουλαγωγοῦσι, μᾶλλον
δέ, ὡς ἂν εἴποι τις, καταβυθίζουσιν αὐτάνδρους ἤδη τοὺς βίους·
7 φιλαργυρία μὲν νόσημα μικροποιόν, φιληδονία δ' ἀγεννέστατον. οὐ
δὴ ἔχω λογιζόμενος εὑρεῖν, ὡς οἷόν τε πλοῦτον ἀόριστον ἐκτιμήσαν-
τας, τὸ δ' ἀληθέστερον εἰπεῖν, ἐκθειάσαντας, τὰ συμφυῆ τούτῳ κακὰ
εἰς τὰς ψυχὰς ἡμῶν ἐπεισιόντα μὴ παραδέχεσθαι. ἀκολουθεῖ γὰρ
τῷ ἀμέτρῳ πλούτῳ καὶ ἀκολάστῳ συνημμένη καὶ ἴσα, φασί, βαί-
νουσα πολυτέλεια, καὶ ἅμα ἀνοίγοντος ἐκείνου τῶν πόλεων καὶ οἴ-
κων τὰς εἰσόδους [εἰς ἃς] ἐμβαίνει καὶ συνοικίζεται. χρονίσαντα δὲ
ταῦτα ἐν τοῖς βίοις νεοττοποιεῖται κατὰ τοὺς σοφοὺς καὶ ταχέως
γενόμενα περὶ τεκνοποιΐαν ἀλαζόνειάν τε γεννῶσι καὶ τῦφον καὶ
τρυφὴν οὐ νόθα ἑαυτῶν γεννήματα, ἀλλὰ καὶ πάνυ γνήσια. ἐὰν
δὲ καὶ τούτους τις τοῦ πλούτου τοὺς ἐκγόνους εἰς ἡλικίαν ἐλθεῖν
ἐάσῃ, ταχέως δεσπότας ταῖς ψυχαῖς ἐντίκτουσιν ἀπαραιτήτους, ὕβριν
8 καὶ παρανομίαν καὶ ἀναισχυντίαν. ταῦτα γὰρ οὕτως ἀνάγκη γί-
νεσθαι, καὶ μηκέτι τοὺς ἀνθρώπους ἀναβλέπειν μηδ' ἕτερα φήμης
εἶναί τινα λόγον, ἀλλὰ τοιούτων ἐν κύκλῳ τελεσιουργεῖσθαι κατ'
ὀλίγον τὴν τῶν βίων | διαφθοράν, φθίνειν δὲ καὶ καταμαραίνεσθαι 207 v.
τὰ ψυχικὰ μεγέθη καὶ ἄζηλα γίνεσθαι, ἡνίκα τὰ θνητὰ ἑαυτῶν

2 πλοῦτος G. S. A. class. journ. III, 5 p. 69 | 3 φρονοῦντα Robortellus | κατὰ κάρα Manutius κατάκαρα Faber | 5 δουλαγωγ*ῦσι P δουλαγωγοῦσι P | 7 μὲν γὰρ vel μέν γε aut μικροποιὸν ὄν Spengelius | ἀγενέστατον P | 9 ἀλεθέστερον P ἀληθέστερον P | 12 καὶ ἅμα Pearcius: καὶ ἄλλα P καὶ μαλακία Tollius del. Toupius | οἶκον P οἴκων P | 13 εἰς αὐτὰ Weiskius f. | ἃς εὐθὺς ἐμβαίνει Courierius ad Xenoph. hipp. p. 81 | εἰσόδους συνεμβαίνει Nolteius ztschr. f. alterth. wiss. 1854 p. 464 | συνοικίζεται, χρονίσαντα δὴ ταῦτα Spengelius | 15 ἀλαζόνειάν τε Is. Vossius Reiskius: ἀνάλεξον εν αντι in marg. γρ ἔναντι P ἔντι p πλεονεξίαν Ruhnkenius ἀναλογοῦν ἑαυτοῖς Faber ἀνάλογον ἄν τι Morus | γεννῶσα P σι superscr. p | 17 τούτους Tollius: τούτου P | ἡλικίας Manutius | 20 μηδὲ πέρα Manutius μηδὲ παρὰ Schurzfleischius μηδὲ περὶ Toupius | μηδ' ὑστεροφημίας Ruhnkenius Reiskius

11 HARPOCRATION ἴσα βαίνων Πυθοκλεῖ Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου ⟨de cor. 314⟩ ἀντὶ τοῦ συνὼν ἀεὶ καὶ μηδὲ βραχὺ ἀφιστάμενος. καὶ ἐν τῷ κατὰ Στεφάνου α' φησί ⟨63⟩ 'Ἀριστολόχῳ τῷ τραπεζίτῃ ἴσα βαίνων ἐβάδιζε'. Μένανδρος 'παρ' αὐτὸν ἴσα βαίνουσ' ἑταῖρε πολυτελής'. | 15 PLATO REP. IX p. 573 E ἆρα οὖν ἀνάγκη μὲν τὰς ἐπιθυμίας βοᾶν πυκνάς τε καὶ σφοδρὰς ἐννενεοττευμένας;

44 μέρη κάνόητα ἐκθαυμάζοιεν, παρέντες αὔξειν τἀθάνατα. οὐ γὰρ ἐπὶ 9
κρίσει μέν τις δεκασθεὶς οὐκ ἂν ἔτι τῶν δικαίων καὶ καλῶν ἐλεύ-
θερος καὶ ὑγιὴς ἂν κριτὴς γένοιτο· ἀνάγκη γὰρ τῷ δωροδόκῳ τὰ
οἰκεῖα μὲν φαίνεσθαι καλὰ καὶ δίκαια, ** ὅπου δὲ ἡμῶν ἑκάστου
τοὺς ὅλους ἤδη βίους δεκασμοὶ βραβεύουσι καὶ ἀλλοτρίων θῆραι θα-
νάτων καὶ ἐνέδραι διαθηκῶν, τὸ δ' ἐκ τοῦ παντὸς κερδαίνειν ὠνού-
μεθα τῆς ψυχῆς, ἕκαστος πρὸς τῆς ** ἠνδραποδισμένοι, ἆρα δὴ ἐν
τῇ τοσαύτῃ λοιμικῇ τοῦ βίου διαφθορᾷ δοκοῦμεν ἔτι ἐλεύθερόν τινα
κριτὴν τῶν μεγάλων ἢ διηκόντων πρὸς τὸν αἰῶνα κἀδέκαστον ἀπο-
λελεῖφθαι καὶ μὴ καταρχαιρεσιάζεσθαι πρὸς τῆς τοῦ πλεονεκτεῖν
ἐπιθυμίας; ἀλλὰ μήποτε τοιούτοις, οἷοί περ ἐσμὲν ἡμεῖς, ἄμεινον 10
ἄρχεσθαι ἢ ἐλευθέροις εἶναι· ἐπεὶ τοίγε ἀφεθεῖσαι τὸ σύνολον, ὡς ἐξ
εἱρκτῆς [ἄφετοι], κατὰ τῶν πλησίον αἱ πλεονεξίαι κἂν ἐπικλύσειαν
τοῖς κακοῖς τὴν οἰκουμένην. ὅλως δὲ δαπανῶν ἔφην εἶναι τῶν νῦν 11
γεννωμένων φύσεων τὴν ῥᾳθυμίαν, ᾗ πλὴν ὀλίγων πάντες ἐγκατα-
βιοῦμεν, οὐκ ἄλλως πονοῦντες ἢ ἀναλαμβάνοντες εἰ μὴ ἐπαίνου καὶ
ἡδονῆς ἕνεκα, ἀλλὰ μὴ τῆς ζήλου καὶ τιμῆς ἀξίας ποτὲ ὠφελείας.
κράτιστον εἰκῇ ταῦτ' ἐᾶν, ἐπὶ δὲ τὰ συνεχῆ χωρεῖν· ἦν δὲ ταῦτα 12
τὰ πάθη, περὶ ὧν [ἐν ἰδίῳ προηγουμένως ὑπεσχόμεθα γράψειν ὑπο-
μνήματι, ὃ τήν τε τοῦ ἄλλου λόγου καὶ αὐτοῦ τοῦ ὕψους μοῖραν
ἐπεχόντων, ὡς ἡμῖν ****

1 κάνόητα Toupius: καπανητα P κάνόνητα Manutius τὰ ὀνητὰ Schurzfleischius καὶ τ' ἀνόητα Pearcius | τἀθάνατα Pearcius: τἀσάνατα P | καὶ γὰρ Faber | ἐπικρί*σει P ἐπικρίνει Is. Vossius | 2 δεκασθεὶς Manutius: δικασθεὶς P | ἂν del. Faber | ἔτι Morus: ἐπὶ P | 3 τὸ P τῷ p | τὰ οἰκεῖα μὴ Portus τὰ δίκαια μὴ Faber τὰ οἰκεῖα μόνα Morus | 4 lacunam indicavit Spengelius | 7 πρὸς ἑαυτοῦ Faber πρὸς τῆς ἑαυτοῦ ἡδονῆς Toupius πρὸς τῆς ἑαυτοῦ ἡδυπαθείας Courierus ad Xenoph. hipp. p. 81 πρὸς τῆς τρυφῆς Kayserus n. iahrb. LXX p. 295 | προσηνδραποδισμένοι Nolteius ztschr. f. alterth. wiss. 1854 p. 464 | huc transfert Ruhnkenius πρὸς — ἐπιθυμίας | 9 μεγάλων ἢ μεγάλων ἢ P μεγάλων ἢ κάλων ἢ Spengelius | αἰῶνα Portus: ἀγῶνα P | κἀδέκαστον Tollius: καθέκαστον P | 10 μὴ Manutius: μοι P | 11 τοῖς τοιούτοις Robortellus τοῖς Spengelius | 12 ἀνεθεῖσαι Ruhnkenius ἀφεθεῖσαι τὸ σύνολον et κατὰ τῶν πλησίον del. Vaucherus | 13 ἄφετοι del. Tollius Marklandus ad Max. Tyr. 33, 5 p. 711 | πλησίων P πλησίον P | ἐπικλύσειαν Marklandus Sallierius mém. de l'acad. V p. 125 Reiskius Cobetus Ἑρμ. λογ. I p. 218: ἐπικαύσειαν P | 14 δαπάνου Tollius διὰ παντὸς Spengelius δ' ἀφανῶν Nolteius ztschr. f. alterth. wiss. 1854 p. 464 | 15 ᾗ Manutius: οἱ P οἳ Robortellus | 16 ἀναλίσκοντες Reiskius | 16 πλούτου Toupius | 18 δ' εἰκῇ Manutius δ' εἴη Faber δ' εἴη καὶ Toupius δ' ἔοικε Schurzfleischius | 19 ἐν ἰδίῳ — ἡμῖν add. p | ἡμῖν δοκεῖ Robortellus

18 EURIPIDES ELECTRA 379 κράτιστον εἰκῇ ταῦτ' ἐᾶν ἀφειμένα.

# TESTIMONIA DE DIONYSIIS ATQUE LONGINO.

SUIDAS Διονύσιος Ἀλεξάνδρου Ἁλικαρνασεύς, ῥήτωρ καὶ παντοίως λόγιος· γέγονε δὲ ἐπὶ Καίσαρος τοῦ Σεβαστοῦ, πρόγονος τοῦ ἐπὶ Ἀδριανοῦ γεγονότος ἀττικιστοῦ.

PHOTIUS BIBLIOTH. COD. 152. Περιείχετο δὲ τῷ τεύχει καὶ Αἰλίου Διονυσίου Ἁλικαρνασέως ἀττικῶν ὀνομάτων τῆς πρώτης ἐκδόσεως λόγοι πέντε, ἀπὸ τοῦ ᾱ μέχρι τοῦ ω̄ τὰς ἀττικὰς λέξεις κατὰ στοιχεῖον ἀναγράφοντες· Σκύμνῳ δὲ τὸ σύνταγμα προσφωνεῖ. χρησιμώτατος δ' ὁ πόνος οὗτος τοῖς τε ἀττικίζειν ἔχουσι φροντίδα καὶ τοῖς τῶν ἀττικῶν συγγράμμασιν ἐνομιλεῖν προαιρουμένοις. ὅσαι τε γὰρ ἐπιχωριάζουσι λέξεις τοῖς Ἀθηναίοις περί τε τὰς ἑορτὰς καὶ τὰς δίκας ἐντεῦθεν ἔστιν ἐκμαθεῖν· καὶ εἴ τι ἄλλο ἰδιοτρόπως αὐτοῖς λέγεται, οὐ χαλεπὸν εὑρεῖν, μάλιστα εἴ τις μὴ τοὺς τῆς πρώτης ἐκδόσεως μόνον τόμους διερευνῴη ἀλλὰ καὶ τῆς δευτέρας ἐκδόσεως, καὶ αὐτοὺς πέντε τόμους ὄντας καὶ ἀπὸ τοῦ ᾱ μέχρι τοῦ ω̄ τὰς ἀττικὰς λέξεις περιέχοντας, ὅσαι γε τῇ προτέρᾳ

2 παντοῖος λόγοις Bernhardyus. libri, quos Dionysius praeter antiquitates romanas scripsisse verisimile est, sunt τέχνη, περὶ συνθέσεως ὀνομάτων (de Demosth. 49 p. 110 R. 50 p. 1111), περὶ τῶν ἀρχαίων (ἀττικῶν) ῥητόρων (ep. ad Pomp. 2 p. 758 ad Amm. II, 1. p. 789 de Din. I p. 929), περὶ Δημοσθένους (de Demosth. 57 l p. 1127. de Din. 11 p 656. 13 p. 666), περὶ Λυσίου (de Lys. 14 p. 485), περὶ Ἰσοκράτους (Phot. bibl. c. 488), περὶ Ἀνδοκίδου (arg. Andoc. 3), περὶ Δεινάρχου (de Din. I p. 629), ἐπιστολαὶ πρὸς Ἀμμαῖον α' β', πρὸς Πομπήιον, περὶ μιμήσεως (ep. ad Pomp. 3 p. 766), περὶ σχημάτων (Quint. IX, 3, 89), περὶ Θουκυδίδου (ep. ad Amm. II, 1 p. 789), περὶ τῆς πολιτικῆς φιλοσοφίας (de Thuc. 2 p. 814), περὶ Πλάτωνος καὶ Δημοσθένους (? de Dem. 32 p. 1057), περὶ ἐκλογῆς ὀνομάτων (de comp. verb. 1 p. 6 de Thuc. 22 p. 862) | 3 DIONYSIUS HALICARNASENSIS ANTIQ. I, 7 ἐγὼ καταπλεύσας εἰς Ἰταλίαν ἅμα τῷ καταλυθῆναι τὸν ἐμφύλιον πόλεμον ὑπὸ τοῦ Σεβαστοῦ Καίσαρος ἑβδόμης καὶ ὀγδοηκοστῆς καὶ ἑκατοστῆς ὀλυμπιάδος μεσούσης, καὶ τὸν ἐξ ἐκείνου χρόνον ἐτῶν δύο καὶ εἴκοσι μέχρι τοῦ παρόντος γενομένου ἐν Ῥώμῃ διατρίψας, διάλεκτόν τε τὴν ῥωμαϊκὴν ἐκμαθὼν καὶ γραμμάτων τῶν ἐπιχωρίων λαβὼν ἐπιστήμην, ἐν παντὶ τούτῳ τῷ χρόνῳ τὰ συντείνοντα πρὸς τὴν ὑπόθεσιν ταύτην διετέλουν πραγματευόμενος — 8 ὁ δὲ συντάξας εἰμὶ Διονύσιος Ἀλεξάνδρου Ἁλικαρνασεύς. | 5 ATHENAEUS VI p. 255 c Διονύσιος ὁ τοῦ Τρύφωνος ἐν τῷ δεκάτῳ περὶ ὀνομάτων. cf. A. de Velsen Tryphonis frgm. p. 2 BOISSONADII ANECD. I p. 413 Διονύσιος ὁ Ἁλικαρνασεὺς ἐν τῷ περὶ χρήσεως ἀττικῶν ὀνομάτων. — p. 111 ἐν τῷ περὶ λέξεων Διονυσίου. | 7 EUSTATHIUS AD HOM. IL. A p. 228, 38 Αἴλιος Διονύσιος ὁ Ἁλικαρνασεὺς ἐν οἷς γράφει πρὸς Σκύμνον.

οὐ συμπεριελήφθησαν ἢ περιελήφθησαν μὲν, μαρτυρίαις δὲ ταῖς οὔσαις οὐκ ἐβεβαιώθησαν· ἐν γὰρ τῇ δευτέρᾳ ἐκδόσει πλατύτερόν τε καὶ ἀφθονώτερον αἱ μαρτυρίαι παρατέθεινται. ὧν εἴ τις τὰς δύο πραγματείας εἰς ἓν συναγαγεῖν σύνταγμα βουληθείη, χρησιμώτερόν τε τὸ φιλοτέχνημα ἐπιδείξει καὶ μετὰ ῥᾳστώνης ἐκτελέσει.

**SUIDAS** Διονύσιος Ἁλικαρνασεύς, γεγονὼς ἐπὶ Ἀδριανοῦ Καίσαρος, σοφιστής. καὶ μουσικὸς κληθεὶς διὰ τὸ πλεῖστον ἀσκηθῆναι τὰ τῆς μουσικῆς, ἔγραψε δὲ ῥυθμικῶν ὑπομνημάτων βιβλία κδ΄, μουσικῆς ἱστορίας βιβλία λς΄· ἐν δὲ τούτοις αὐλητῶν καὶ κιθαρῳδῶν καὶ ποιητῶν παντοίων μέμνηται. μουσικῆς παιδείας ἢ διατριβῶν βιβλία κβ΄. τίνα μουσικῶς εἴρηται ἐν τῇ Πλάτωνος πολιτείᾳ, βιβλία ε΄.

**STRABO** XIII p. 625 Περγαμηνοὶ — καὶ Ἀπολλόδωρος ὁ ῥήτωρ, ὁ τὰς τέχνας συγγράψας καὶ τὴν ἀπολλοδώρειον αἵρεσιν παραγαγών. — μαθητὴν δ' ἔσχεν ἀξιόλογον Διονύσιον τὸν ἐπικληθέντα ἀττικόν, πολίτην αὐτοῦ· καὶ γὰρ σοφιστὴς ἦν ἱκανὸς καὶ συγγραφεὺς καὶ λογογράφος. **QUINTILIANUS** III, 1, 18 sed Apollodori praecepta magis ex discipulis cognoscas, quorum diligentissimus in tradendo latine fuit C. Valgius, graece Atticus.

**SUIDAS** Διονύσιος Ἀλεξανδρεύς, ὁ Γλαύκου υἱός, γραμματικός, ὅστις ἀπὸ Νέρωνος συνῆν καὶ τοῖς μέχρι Τραϊανοῦ, καὶ τῶν βιβλιοθηκῶν προύστη, καὶ ἐπὶ τῶν ἐπιστολῶν καὶ πρεσβειῶν ἐγένετο καὶ ἀποκριμάτων. ἦν δὲ καὶ διδάσκαλος Παρθενίου τοῦ

5 cf. Meieri opp. II p. 63 sqq. Cobetus mnemos. X p. 50 sqq. Naberus Phot. I p. 24 sqq. Linckeius de Aelio Dionysio Halicarnassensi lexici attici conditore. Regiom. 1865. Rindfleischius de Pausaniae et Aelii Dionysii lexicis rhetoricis. Regim. 1866. | SCHOL. ARISTOPH. PLVT. 322 περὶ τοῦ ἐν τῇ συνηθείᾳ χαίρειν τοῦ τε ἐν ταῖς ἐπιστολαῖς γέγραπται Διονυσίῳ μονόβιβλον. | 8 PORPHYRIVS IN PTOLEM. HARM. p. 219 Διονύσιος ὁ μουσικὸς ἐν τῷ πρώτῳ περὶ ὁμοιοτήτων. p. 267 Διονύσιος ὁ Ἁλικαρνασεύς p. 269. 270 | 9 cf. O. Schneiderus de Callimachi operum tabula quae extat apud Suidam p. 14 sqq. C. Wachsmuthius symb. philolog. bonn. p. 145 sqq. | 24 ATHENAEUS DEIPNOSOPH. XI, 467 c Παρθένιος ὁ τοῦ Διονυσίου ἐν πρώτῳ περὶ τῶν παρὰ τοῖς ἱστορικοῖς λέξεων ζητουμένων. XV p. 640 D. — ANTHOLOG. PALAT. VII, 377 ERYCII

Εἰ καὶ ὑπὸ χθονὶ κεῖται, ὅμως ἔτι καὶ κατὰ πίσσαν
    τοῦ μιαραγλώσσου χεύατε Παρθενίου,
οὕνεκα Πιερίδεσσιν ἐνήμεσε μυρία κεῖνα
    φλέγματα καὶ μυσαρῶν ἀπλυσίην ἐλέγων.
ἤλασε καὶ μανίης ἐπὶ δὴ τόσον, ὥστ' ἀγορεῦσαι
    πηλὸν Ὀδυσσείην καὶ βάτον Ἰλιάδα.
τοιγὰρ ὑπὸ ζοφίαισιν Ἐρινύσιν ἅμμεσον ἧπται
    Κωκυτοῦ, κλοιῷ λαιμὸν ἀπαγχόμενος.

γραμματικοῦ, μαθητὴς δὲ Χαιρήμονος τοῦ φιλοσόφου, ὃν καὶ διεδέξατο ἐν Ἀλεξανδρείᾳ.

SUIDAS Λογγῖνος ὁ Κάσσιος, φιλόσοφος, διδάσκαλος Πορφυρίου τοῦ φιλοσόφου, πολυμαθὴς καὶ κριτικὸς γενόμενος. ἦν δὲ ἐπὶ Αὐρηλιανοῦ τοῦ Καίσαρος καὶ ἀνῃρέθη ὑπ' αὐτοῦ ὡς σύμπνους Ζηνοβίᾳ τῇ Ὀδηνάθου γυναικί. ἔγραψε περὶ τοῦ κατὰ Φειδίου, ⟨Μειδίου Langbainius ad Longin. p. 3 Μηδίου Toupius ad Longin. p. 252⟩, ἀπορήματα ὁμηρικά, εἰ φιλόσοφος Ὅμηρος, προβλήματα Ὁμήρου καὶ λύσεις ἐν βιβλίοις β', τίνα παρὰ τὰς ἱστορίας οἱ γραμματικοὶ ὡς ἱστορικὰ ἐξηγοῦνται, περὶ τῶν παρ' Ὁμήρῳ πολλὰ σημαινουσῶν λέξεων δ', ἀττικῶν λέξεων ἐκδόσεις β', εἰσὶ δὲ κατὰ στοιχεῖον, λέξεις Ἀντιμάχου καὶ Ἡρακλέωνος, καὶ ἄλλα πολλά.

PHOTIUS BIBL. 265 p. 1470. ἐπὶ Κλαυδίου δὲ Λογγῖνος ἤκμαζε. GEORGIUS SYNCELLUS CHRON. p. 384. ἐφ' οὗ (Αὐρηλιανοῦ)

2 SUIDAS. Ἀλέξανδρος Αἰγαῖος, φιλόσοφος περιπατητικός, διδάσκαλος Νέρωνος τοῦ βασιλέως ἅμα Χαιρήμονι τῷ φιλοσόφῳ. PORPHYRIUS APUD EUSEBIUM HIST. ECCL. VI, 19, 3 (NICEPHORUS HIST. ECCL. XIII, 5 SUIDAS Ὠριγένης) ἐχρῆτο δὲ ⟨Ὠριγένης⟩ καὶ Χαιρήμονος τοῦ στωικοῦ Κορνούτου τε τοῖς βιβλίοις. BEKKERI ANECD. p. 515, 15 καί φησι Χαιρήμων ὁ στωικός, ὡς κατά τι εἴησαν ἂν σύνδεσμοι. ORIGENES C. CELS. I p. 45 ἀνέγνωμεν δ' ἐν τῷ περὶ κομητῶν Χαιρήμονος τοῦ στωικοῦ συγγράμματι, τίνα τρόπον ἐσθ' ὅτε καὶ ἐπὶ χρηστοῖς ἐσομένοις κομῆται ἀνέτειλαν, καὶ ἐκτίθεται τὴν περὶ τούτων ἱστορίαν. PORPHYRIUS DE ABSTIN. IV, 6 τὰ γοῦν κατὰ τοὺς αἰγυπτίους ἱερέας Χαιρήμων ὁ στωικὸς ἀφηγούμενος, οὓς καὶ φιλοσόφους ὑφειλῆφθαί φησι παρ' Αἰγυπτίοις, ἐξηγεῖται. cf. HIERONYMUS ADV. IOVIAN. II, 14. — PORPHYRIUS APUD EUSEBIUM PRAEPAR. EVANGEL. V, 10 τὸ γὰρ λέγειν, ὅτι τὸν οὐρανὸν προσταράξει, καὶ τὰ κρυπτὰ τῆς Ἴσιδος ἐκφανεῖ, καὶ τὸ ἐν Ἀβύδῳ ἀπόῤῥητον δείξει, καὶ τὴν βάσιν στήσει, καὶ τὰ μέλη τοῦ Ὀσίριδος διασκεδάσει τὸ Τυφῶνι, τίνα οὐχ ὑπερβολὴν ἐμπληξίας μὲν τῷ ἀπειλοῦντι, ἃ μήτε εἶδε μήτε δύναται, καταλείπει, ταπεινότητα δὲ τοῖς δεδοικόσιν οὕτω κενὸν φόβον καὶ πλάσματα, ὡς κομιδῇ παῖδες ἀνόητοι; καίτοι καὶ Χαιρήμων ὁ ἱερογραμματεὺς ἀναγράφει ταῦτα, ὡς καὶ παρ' Αἰγυπτίοις θρυλούμενα. IOSEPHUS CONTRA APION. I, 32 μετὰ τοῦτον ἐξετάσαι βούλομαι Χαιρήμονα. καὶ γὰρ οὗτος αἰγυπτιακὴν φάσκων ἱστορίαν συγγράφειν, καὶ προσθεὶς ταὐτὸ ὄνομα τοῦ βασιλέως, ὅπερ ὁ Μανεθώς, Ἀμένωφιν, καὶ τὸν υἱὸν αὐτοῦ Ῥαμέσσην, φησίν.... SUIDAS Χαιρήμων κωμικός. — — καὶ ἕτερος Χαιρήμων γράψας ἱερογλυφικά. 10. TZETZES SCHOL. AD EXEG. IN ILIADEM p 146 Χαιρήμων δὲ ὁ ἱερογραμματεὺς ὅλην βίβλον περὶ τῶν τοιούτων ⟨αἰθιοπικῶν⟩ γραμμάτων συνέταξεν. EXEG. IN ILIADEM p. 123 οἱ γὰρ Αἰθίοπες στοιχεῖα γραμμάτων οὐκ ἔχουσιν, ἀλλ' ἀντ' αὐτῶν ζῶα παντοῖα καὶ μέλη τούτων καὶ μόρια· βουλόμενοι γὰρ οἱ ἀρχαιότεροι τῶν ἱερογραμματέων τὸν περὶ θεῶν φυσικὸν λόγον κρύπτειν, δι' ἀλληγορικῶν καὶ συμβόλων τοιούτων καὶ γραμμάτων τοῖς ἰδίοις τέκνοις αὐτὰ παρεδίδουν, ὡς ὁ ἱερογραμματεὺς Χαιρήμων φησί. cf. Sam. Birchius transact. of the roy. soc. of litt. n. s. III. — STRABO XVII p. 806 παρηκολούθει δέ τις ἐξ Ἀλεξανδρείας ἀναπλέοντι εἰς τὴν Αἴγυπτον Αἰλίῳ Γάλλῳ τῷ ἡγεμόνι Χαιρήμων τοὔνομα προσποιούμενος τοιαύτην τινὰ ἐπιστήμην, γελώμενος δὲ τὸ πλέον ὡς ἀλαζὼν καὶ ἰδιώτης. | 14 BIBL. COISL. p. 597 ὅσοι περὶ ἐθνικῶν· Ὠρίων Θηβαῖος, Μητρόδωρος Φιλόξενος, Λογγῖνος. — PORPHYRIUS VITA PLOTINI 14 Λογγῖνος περὶ ἀρχῶν.

φασὶ Φιλόστρατον τὸν Ἀθηναῖον ἱστοριογράφον καὶ Λογγῖνον ἀκμάσαι. SUIDAS. Φρόντων Ἐμισηνὸς ῥήτωρ, γεγονὼς ἐπὶ Σεουήρου τοῦ βασιλέως ἐν Ῥώμῃ. ἐν δὲ Ἀθήναις ἀντεπαίδευσε Φιλοστράτῳ τῷ πρώτῳ καὶ Ἀψίνῃ τῷ Γαδαρεῖ. ἐτελεύτησε δὲ ἐν Ἀθήναις, περὶ ξ΄ ἔτη γεγονὼς καὶ τῆς ἀδελφῆς Φροντωνίδος παῖδα ὄντα Λογγῖνον τὸν κριτικὸν κατέλιπε κληρονόμον. ἔγραψε δὲ συχνοὺς λόγους.

FLAVIUS VOPISCUS AURELIAN. 30 grave inter eos, qui caesi sunt, de Longino philosopho fuisse perhibetur, quo illa magistro usa esse ad graecas litteras dicitur, quem quidem Aurelianus idcirco dicitur occidisse, quod superbior illa epistula ipsius diceretur dictata consilio, quamvis syro esset sermone contexta. ZOSIMUS I, 56 ἐπεὶ δὲ αἰτίας ἔλεγεν ⟨Ζηνοβία⟩ ἑαυτὴν ἐξαιροῦσα, πολλούς τε ἄλλους ἦγεν εἰς μέσον, ὡς παραγαγόντας οἷα γυναῖκα. ἐν οἷς καὶ Λογγῖνος ἦν, οὗ συγγράμματά ἐστι μέγα τοῖς παιδείας μεταποιουμένοις ὄφελος φέροντα. ᾧπερ ἐφ᾽ οἷς κατηγορεῖτο ἐλεγχομένῳ, παραχρῆμα ὁ βασιλεὺς θανάτου ζημίαν ἐπέθηκεν, ἣν οὕτω γενναίως ἤνεγκεν ὁ Λογγῖνος, ὥστε καὶ τοὺς σχετλιάζοντας ἐπὶ τῷ πάθει παραμυθεῖσθαι καὶ ἄλλων δὲ, Ζηνοβίας κατειπούσης, κολάσεσιν ὑπαχθέντων.

EUNAPIUS PORPHYR. Πορφυρίῳ Τύρος μὲν ἦν πατρὶς — — καὶ πατέρες δὲ οὐκ ἄσημοι. τυχὼν δὲ τῆς προσηκούσης παιδείας, ἀνά τε ἔδραμε τοσοῦτον καὶ ἐπέδωκεν, ὡς Λογγίνου μὲν ἦν ἀκροατὴς καὶ ἐκόσμει τὸν διδάσκαλον ἐντὸς ὀλίγου χρόνου. Λογγῖνος δὲ κατὰ τὸν χρόνον ἐκεῖνον βιβλιοθήκη τις ἦν ἔμψυχος καὶ περιπατοῦν μουσεῖον, καὶ κρίνειν γε τοὺς παλαιοὺς ἐπετέτακτο, καθάπερ πρὸ ἐκείνου πολλοί τινες ἕτεροι καὶ ὁ ἐκ Καρίας Διονύσιος πάντων ἀριδηλότερος. — παρ᾽ ἐκείνῳ δὴ τὴν ἄκραν ἐπαιδεύετο παιδείαν, γραμματικῆς τε εἰς ἄκρον ἁπάσης, ὥσπερ ἐκεῖνος, ἀφικόμενος καὶ

— 17 Λογγῖνος προσφωνῶν τὰ περὶ ὁρμῆς Κλεοδάμῳ τε καὶ Πορφυρίῳ. — 20 ἐπιγράφεται τὸ βιβλίον Λογγίνου πρὸς Πλωτῖνον καὶ Γεντιλιανὸν Ἀμέλιον περὶ τέλους. — LONGINUS APUD PORPHYRIUM VITA PLOTINI 20 τῷ μὲν Γεντιλιανῷ περὶ τῆς κατὰ Πλάτωνα δικαιοσύνης ἀντειπόντες, τοῦ δὲ Πλωτίνου τὸ περὶ τῶν ἰδεῶν ἐπισκεψάμενοι, τὸν — Βασιλέα τὸν Τύριον, — ⟨ὃς Πλωτῖνον⟩ ἐπεχείρησε διὰ συγγράμματος ἀποδεῖξαι βελτίω δόξαν περὶ τῶν ἰδεῶν τῆς ἡμῖν ἀρεσκούσης ἔχοντα, μετρίως ἀντιγραφῇ διελέγξαι δοκοῦμεν, ὥσπερ κἀν τῇ πρὸς Ἀμέλιον ἐπιστολῇ, μέγεθος μὲν ἐχούσῃ συγγράμματος, ἀποκρινομένῃ δὲ πρὸς — ἐπιστολὴν περὶ τοῦ τρόπου τῆς Πλωτίνου φιλοσοφίας. — EUSEBIUS PRAEP. EVANG. XV, 21 Λογγίνου — πρὸς τὴν τῶν στωικῶν περὶ ψυχῆς δόξαν ἀντίρρησις. — LIBANIUS EPP. 998 Ὀδαινάθου τὸν λόγον — Λογγίνου δὲ ὁ λόγος — ἐγὼ μὲν ἀπαιτῶ.

ῥητορικῆς (πλὴν ὅσον οὐκ ἐπ' ἐκείνην ἔνευσε), φιλοσοφίας τε πᾶν εἶδος ἐκματτόμενος. ἦν γὰρ ὁ Λογγῖνος μακρῷ τῶν τότε ἀνδρῶν τὰ πάντα ἄριστος, καὶ τῶν βιβλίων τε αὐτοῦ πολὺ πλῆθος φέρεται καὶ τὸ φερόμενον θαυμάζεται. καὶ εἴ τις κατέγνω τινὸς τῶν παλαιῶν, οὐ τὸ δοξασθὲν ἐκράτει πρότερον, ἀλλ' ἡ Λογγίνου πάντως ἐκράτει κρίσις.

PROCLUS IN PLATONIS TIMAEUM p. 19 B Λογγῖνος μὲν ἐν τούτοις ὡραΐζεσθαι τὸν Πλάτωνά φησι, διὰ τῶν παραβολῶν καὶ τῆς τῶν ὀνομάτων χάριτος καλλωπίσαντα τὸν λόγον, ἐνδεικνύμενος εἴς τινας πλατωνικοὺς αὐτοφυῆ τὴν ἑρμηνείαν ταύτην, ἀλλ' οὐκ ἐκ τέχνης πεπορισμένην τῷ φιλοσόφῳ λέγοντας· εἶναι μὲν γὰρ τὴν ἐκλογὴν τῶν ὀνομάτων πεφροντισμένην τῷ Πλάτωνι, καὶ οὐ κατὰ τὸ ἐπιτυχὸν ἕκαστα λαμβάνειν αὐτόν· ἀλλὰ τοῦτο μὲν εἴποι ἄν τις ἀπὸ τῆς κοινῆς τῆς τότε καὶ συνήθους ἑρμηνείας ἥκειν καὶ εἰς αὐτόν, πολλὴν δὲ αὐτὸν ποιεῖσθαι καὶ τῆς συνήθους ⟨συνθήκης Leopardius mus. rhen. 1835 III p. 12⟩ προμήθειαν· θᾶττον γὰρ ἂν τὰς ἀτόμους Ἐπικούρου συνεκθούσας ποιῆσαι κόσμον ἢ ὀνόματα ὡς ἔτυχε συγκείμενα καὶ ῥήματα λόγον κατωρθωμένον. Πλάτωνα δὲ ἐν μὲν τῇ χρήσει τῶν ὀνομάτων ᾐτιάσαντό τινες ὡς μεταφοραῖς ⟨κατακόρως add. Ruhnkenius de Longino 6⟩ χρώμενον, περὶ δὲ τὴν συνθήκην ἅπαντες θαυμάζουσιν. ἀλλ' ὅμως οὐδὲ ἐκ ταύτης μόνον ἄν τις λάβοι τὴν περὶ τὴν ἑρμηνείαν αὐτοῦ φροντίδα, ἀλλὰ ἐκ τῶν τοιούτων ἐπιτηδεύσεων, οἵαν ἐν τούτοις ἐπιδείκνυται· οὐ γὰρ ἁπλῶς λέγει ὁ Σωκράτης ὃ ποθεῖ γενέσθαι αὐτῷ παρὰ τῶν ἀμφὶ Τίμαιον, ἀλλ' ὡραΐζομένῳ πως ἔοικε καὶ ψυχαγωγοῦντι τὸν ἀκροατήν· προσέοικε δὲ δή τινι τοιῷδε τὸ πάθος, οἷον εἴ τις ζῷα καλὰ θεασάμενος εἴτε ὑπὸ γραφῆς εἰργασμένα καὶ τὰ ἑξῆς. — p. 21 E. Ὁ Λογγῖνος τὴν λέξιν θεωρεῖν οὐκ ἀπαξιῶν ἐκεῖνο μὲν τὸ κῶλον, ἐν ᾧ φησὶ τὸ δὲ τῶν σοφιστῶν φοβοῦμαι, μή πως ἅτε πλανητὸν ὂν ἀρχομένου φησὶν εἶναι διὰ σεμνότητος ἔφεσιν τὴν φράσιν ἐξαλλάττειν, τὸ δὲ ἑξῆς ὅσα ἂν οἷά τε ἐν πολέμῳ καὶ μάχαις πράττοντος καὶ τὰ ἐχόμενα διαστρέφοντος εἶναι τὴν φράσιν ἀπὸ τοῦ κατὰ φύσιν, τὸ δὲ τρίτον τὸ καταλέλειπται δὴ τὸ τῆς ὑμετέρας ἕξεως γένος παντελῶς ἀλλόκοτον εἶναι. μηδὲν γὰρ ἀπεοικέναι τοῦ βίη Ἡρακλείη καὶ ἱερὴ ἲς Τηλεμάχοιο καὶ ὅσα τοιαῦτα. — p. 26 C Λογγῖνος μὲν ἠπόρει, τί ποτε βούλεται τῷ Πλάτωνι τούτου τοῦ διηγήματος ἡ παράθεσις· οὔτε γὰρ ὡς διαναπαύων τοὺς ἀκροατὰς οὔτε ὡς δεόμενος αὐτοῦ πεποίηται τὴν μνήμην· καὶ ἔλυεν,

ὡς ᾤετο, λέγων, ὅτι πρὸ τῆς φυσιολογίας παρέλαβεν αὐτὸ ψυχαγωγῶν τὸν ἀκροατὴν καὶ τὸ τῆς ἑρμηνείας ἐκείνης αὐχμηρὸν προθεραπεύων διὰ τῆς τούτου παραθέσεως. — p. 27 B Λογγῖνος μὲν ἐν τούτοις ἐπισημαίνεται πάλιν, ὅτι φροντίζει καὶ ὀνομάτων ὥρας καὶ ποικιλίας ὁ Πλάτων, ἀπαγγέλλων ἄλλως τὰ αὐτά· τὸ μὲν γὰρ ἔργον ἀρχαῖον ἐκάλεσε, τὸν δὲ λόγον παλαιόν, τὸν δὲ ἄνδρα οὐ νέον, καίτοι ταὐτὸν διὰ πάντων σημαίνων καὶ δυνάμενος πάντα ὡσαύτως προσειπεῖν. οὗτος μὲν οὖν φιλολόγος, ὥσπερ Πλωτῖνον εἰπεῖν περὶ αὐτοῦ λέγεται, καὶ οὐ φιλόσοφος. — OLYMPIODORUS IN PLAT. PHAED. p. 83 ὡς Λογγῖνος τὰ ἐκτὸς πάντα χρήματα καλεῖ.

PHOTIUS BIBLIOTH. 265 φασὶ δὲ τὸν Δημοσθένην δ' καὶ κ' γεγονότα ἔτη τὸν περὶ τῶν ἀτελειῶν ἤτοι τὸν πρὸς Λεπτίνην φιλοπονήσασθαι λόγον, οὗ τὸ προοίμιον Λογγῖνος μὲν ὁ κριτικὸς ἀγωνιστικὸν νομίζει.

SOPATER PROLEG. IN ARISTID. p. 3 ἤδη μὲν Λογγῖνος καὶ πάντες οἱ κριτικοὶ πολλὰ προειρήκασιν, ὡς γόνιμος, ὡς ἐνθυμηματικὸς τυγχάνει ⟨Ἀριστείδης⟩ καὶ βίαιος καὶ καθόλου τὸν Δημοσθένην μιμούμενος.

IOANNES SICULUS IN HERMOGEN. ID. I, 12 (VI p. 93 W.) μᾶλλον δ' ἐφ' ἑνὸς Μενελάου τοῦ ποιητοῦ τοῦτο κατίδοι τις ἄν, δυσκολίαν φύσεως φιλοπονίᾳ μεταβαλόντος εἰς τὸ ἀκριβές τε καὶ ἄμωμον, ὥς φησι καὶ Λογγῖνος, διὸ εἴ τις ἐρρωμένου τύχῃ τοῦ σώματος καὶ σπουδὴν κατάλληλον ἐπιδείξειεν, εἰκός τι κτήσασθαι, οὐ μὴν ἅπαντες.

SCHOL. HERMOG. ID. I, 6, 31 (VII p. 963 W.) φησὶ δὲ Λογγῖνος ἐν κα' τῶν φιλολόγων ὁμιλιῶν περὶ λέξεως στομφώδους. — SCHOL. HERMOG. ID. I, 1, 13 (VI p. 95 W.) εὑρίσκεται γὰρ εἰκότως Λογγῖνος, ὡς οἱ φιλολόγοι δεικνύουσιν, ἄριστος ἐπιμερίσαι λόγων ἰδέας, δημιουργῆσαι δὲ τοιούτους ἥκιστα. — SCHOL. ARISTID. III p. 315 σημείωσαι ὅτι εἶπε κατορθώματα. φασὶ δὲ μὴ λέγεσθαι τὴν λέξιν. λέγει δὲ ὁ Λογγῖνος ἐν τρίτῃ φιλολόγων ὅτι εὕρηται πολλαχῶς.

MAXIMUS PLANUDES IN HERMOG. ID. I (V p. 451 W.). καὶ δὴ Λογγῖνος ὁ φιλόλογος ἐν τῇ ῥητορικῇ τέχνῃ μόνης τῆς λέξεως

8 PORPHYRIUS VITA PLOTINI 14 ἀναγνωσθέντος δὲ αὐτῷ ⟨Πλωτίνῳ⟩ τοῦ τε περὶ ἀρχῶν Λογγίνου καὶ ⟨del. Ruhnkenius de Longino 6⟩ τοῦ φιλαρχαίου 'φιλόλογος μὲν' ἔφη 'ὁ Λογγῖνος, φιλόσοφος δὲ οὐδαμῶς'.

εἶναι λέγει τὰ σχήματα αὐταῖς λέξεσι φάσκων οὕτως 'ὅσα σχήματα τῶν ἐννοιῶν ὠνόμασται, οἷον προδιόρθωσις ἐπιδιόρθωσις ἀποσιώπησις παράλειψις εἰρωνεία ἠθοποιΐα, ἅπαντα ταῦτα οὔ μοι δοκοῦσι δικαίως σχήματα καλεῖσθαι, ἀλλ' ἔννοιαι καὶ ἐνθυμήματα καὶ λογισμοὶ τοῦ πιθανοῦ χάριν καὶ πίστεως εἴδη· τὰ μὲν γὰρ προοιμίων ἔχει δύναμιν, ἐπιδιόρθωσίς τε καὶ προδιόρθωσις, ἡ δὲ παράλειψις τὸ ἀξιόπιστον ἐνδείκνυται, καὶ μέρη ἂν εἴη τῆς παθητικῆς τε καὶ ἠθικῆς ἀποδείξεως, τῇ τῆς ὑποκρίσεως ἀρετῇ πρέποντα'.

**exstant commentarii in Hephaestionem reliquiae.**

## NOMINA SCRIPTORVM.

Αἰσχύλος (Lycurg.) 34, 20
(Orithya) 12, 7
(Sept. 42) 34, 11
Ἀμμώνιος 31, 11
Ἀμφικράτης 13, 3. 15, 8
Ἀνακρέων 48, 23
Ἀπολλώνιος ἐν τοῖς Ἀργοναύταις 54, 19
Ἄρατος (phaen. 287) 44, 22
(phaen. 299) 27, 17
Ἀριστέας ὁ τὰ ἀριμάσπεια ποιήσας 27, 2
Ἀριστοτέλης (περὶ ποιητικῆς) 50, 2
Ἀριστοφάνης 64, 1
Ἀρχίλοχος 28, 6; 31, 8; 54, 23
Βακχυλίδης 55, 1
Γοργίας ὁ Λεοντῖνος 12, 19
Δημοσθένης 29, 23. 24. 25; 30, 4; 31, 24; 32, 4; 42, 14; 55, 8. 15; 56, 7; 58, 24
(c. Aristocr. 113) 11, 13
(c. Aristog. I, 27) 45, 26
(de cor. 18) 44, 2
(de cor. 169) 28, 7
(de cor. 188) 62, 22
(de cor. 208) 36, 14; 37, 20; 38, 20
(de cor. 296) 49, 15, 17
(in Mid. 72) 40, 11. 21
(phil. I, 10) 39, 5
(phil. I, 44) 39, 10
(c. Timocrat. 208) 35, 16
or. de Halonn. 45 59, 21
Ἑκαταῖος 45, 23
Ἐρατοσθένης ἐν τῇ Ἠριγόνῃ 54, 22
Εὔπολις (Demis) 37, 10. 17
Εὐριπίδης 34, 9. 19
(Antiopa) 64, 8
(Bacch. 726) 34, 24
(Hercul. Fur. 1245) 64, 1. 6
(Iphig. Taur. 291) 33, 10. 11. 13
(Orest. 241) 33, 6
(Orest. 264) 35, 10
(Phaeth.) 33, 21
Ζωΐλος 24, 5
Ἡγησίας 13, 3
Ἡρόδοτος 31, 7; 39, 24
(I, 105) 47, 11
(II, 29) 44, 24
(V, 18) 15, 21
(VI, 11) 41, 28; 42, 4

Ἡρόδοτος (VI, 21) 44, 3
(VI, 75) 49, 8
(VII, 181) 49, 10
(VII, 188) 65, 8
(VII, 191) 65, 11
(VII, 225) 60, 23
(VIII, 13) 65, 13
Ἡσίοδος (opp. 14) 31, 19
(scut. 267) 19, 16
Θεόδωρος 13, 19
Θεόκριτος ἐν τοῖς βουκολικοῖς 54, 20
Θεόπομπος 48, 22. 65, 14
Θεόφραστος 50, 2
Θουκυδίδης 31, 25; 42, 13; 44, 16
(VII, 84) 60, 18
Ἰσοκράτειοι, οἱ 41, 3
Ἰσοκράτης (paneg. 8) 60, 3
Ἴων ὁ Χῖος 55, 1. 6
Καλλισθένης 12, 21
Κεκίλιος περὶ ὕψους 9, 1. 9. 12; 14, 13; 18, 3. 18; 49, 1. 13
ἐν τοῖς ὑπὲρ Λυσίου συγγράμμασιν 53, 13
Κικέρων 29, 23. 25. 27
Κλείταρχος 13, 1
Λυσίας 53, 14. 16; 55, 14; 57, 12
Μάτρις 13, 3
Μωύσης ὁ τῶν Ἰουδαίων θεσμοθέτης (genes. I, 3) 22, 4
Ὅμηρος 21, 5; 22, 8. 20; 23, 14; 24, 1; 27, 1; 31, 17. 24; 32, 4; 53, 12; 54, 12, 21; 58, 24
(Il. Α, 225) 15, 12
(Il. Δ, 442) 19, 15
(Il. Ε, 85) 45, 6
(Il. Ε, 770) 20, 1
(Il. Ν, 18) 21, 14
(Il. Ν, 19) 21. 16
(Il. Ν, 27) 22, 1
(Il. Ο, 346) 45, 12. 16
(Il. Ο, 605) 22, 22
(Il. Ο, 624) 27, 11. 20
(Il. Ο, 697) 44, 20
(Il. Ρ, 645) 22, 12
(Il. Υ, 60) 21, 15
(Il. Υ, 61) 20, 12
(Il. Υ, 170) 33, 18
(Il. Φ, 388) 20, 10
(Od. γ, 809) 23, 7
(Od. δ, 68) 46, 10
(Od. ι, 182) 23, 24
(Od. κ, 17) 24, 4
(Od. κ, 237) 24, 5
(Od. κ, 251) 40, 4

Ὅμηρος (Od. λ, 314) 18, 9
(Od. λ, 543) 19, 3
(Od. μ, 62) 24, 6
(Od. μ, 447) 24, 7
(Od. ρ, 322) 68, 15
(Od. χ, 79) 24, 7
Πίνδαρος 55, 1. 3.
Πλάτων 15, 15; 30, 22; 31, 9. 24. 53, 4. 14. 16. 19; 57, 10; 58, 24.
(de legg. V p. 741 C) 15, 17
(de legg. VI p. 773 C) 53, 7
(de legg. VI p. 778 D) 15, 20
ἐν τοῖς νόμοις (de legg. VII p. 801 B) 47, 15
(Menex. p. 236 D) 46, 25
(Menex. p. 245 D) 43, 19
(Phaedr. p. 264 C) 59, 6
ἐν τῇ πολιτείᾳ (rep. I p. 344 D) 30, 7
(rep. X p. 586 A) 30, 14
(Theaetet. p. 144 B) 30, 11
(Tim. p. 65 C) 51, 3
(Tim. p. 69 D) 50, 17; 51, 2
(Tim. p. 72 D) 52, 6
(Tim. p. 74 A) 51, 1
(Tim. p. 74 B) 52, 8
(Tim. p. 74 D) 52, 8
(Tim. p. 77 C) 52, 10
(Tim. p. 78 E) 52, 10
(Tim. p. 79 E) 52, 9
(Tim. p. 85 E) 52, 13
Σαπφώ 24, 21
Σιμωνίδης 35, 2
Σοφοκλῆς 13, 2; 55, 3. 6
(Oed. R. 1403) 43, 8
(Oed. Col. 1586) 34, 25
(Polyxen.) 34, 27
Στησίχορος 31, 8
Τίμαιος 14, 7. 13. 20; 15, 13
Ξενοφῶν (Ages. 2, 12) 40, 2
(Cyrop. I, 5, 12) 47, 5
(Cyrop. VII, 1, 37) 44, 13
(hist. graec. IV, 3, 19) 40, 2
ἐν τῇ τῶν Λακεδαιμονίων πολιτείᾳ (de rep. Lac. 3, 5) 15, 5. 14.
(memor. I, 4, 5) 50, 15
(memor. I, 4, 6) 67, 11
Ὑπερίδης 35, 22; 55, 8. 12. 56, 6. 12. 15.
Φίλιστος 63, 27.
incertus 13, 8; 43, 3. 18; 53, 5. 7; 58, 14; 61, 9; 67, 19
scriptor ἐν τοῖς περὶ συνθέσεως συντάγμασιν 61, 15
ἐν τοῖς περὶ Ξενοφῶντος 17, 19
ἑτέρωθι 19, 1

Typis Berolinensis Georgi Reimeri.